ΑΠΑΝΤΑ, ΜΑΞΙΜΟΥ τοῦ ΟΜΟΛΟΓΗΤΟΥ *

2ος Τόμος - 14 Α....136
ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ Α' 136
ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ....221
ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΝΘ' (59) ΨΑΛΜΟΝ....224

2ος Τόμος - 14 Α

ΕΡΩΤΑΠΟΚΡΙΣΕΙΣ Α' *

(≡14A_010≡>

ΕΡΩΤΗΣΙΣ 1
ΑΠΟΚΡΙΣΙΣ

*** *** πάθεσιν καὶ τὴν προσβολὴν μειοῖ τὴν κακίαν καὶ πάλιν εἰς τὸ πρότερον ἀποκαθίσταται σχῆμα, τουτέστιν εἰς τὴν κατὰ φύσιν ἐπιθυμίαν εἴ τινες *** ἔφεσις καὶ πόθος Θεοῦ. Τὸ δὲ τὴν χεῖρα βαλεῖν «εἰς τὸν κόλπον» σημαίνει τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν τοῦ Πατρὸς Λόγον, ἐν τῷ ἡμετέρῳ τῆς φύσεως ἐργαστηρίῳ σαρκούμενον· τοῦτο γὰρ ὁ κόλπος καὶ ἡ λευκὴ χεὶρ σημαίνει· καὶ πάλιν ἐν τῷ προτέρῳ σχήματι τῆς χειρὸς ἀποκαθισταμένης δηλοῦται ὡς μετὰ τὴν ἀνάστασιν ὁ Κύριος ἀναλαμφθεὶς ἐν τῷ πατρικῷ κόλπῳ ἀπεκατέστη. Μωυσῆς γὰρ ὡς μεσίτης τοῦ Θεοῦ καὶ τοῦ λαοῦ γεγονώς, ποτὲ μὲν τοῦ Θεοῦ καὶ Πατρὸς πρόσωπον ἐπέχει, ποτὲ δὲ τῆς ἡμετέρας φύσεως.

ΕΡΩΤΗΣΙΣ 2

Τί σημαίνει ὁ ἐν γῇ Σενναὰρ οἰκοδομούμενος πύργος;

ΑΠΟΚΡΙΣΙΣ

Οἰκοδομοῦμεν καὶ ἡμεῖς πύργον ὅτ᾽ ἂν ἐξ ἀνατολῶν κινηθῶμεν, τουτέστιν ὅτ᾽ ἂν ἀποκινηθῶμεν τῆς γνώσεως· ἐρχόμεθα δὲ εἰς γῆν Σενναάρ, τουτέστιν εἰς τὸ τῆς γαστριμαργίας πάθος· (≡14A_012≡> Σενναὰρ γὰρ ‘γρηγόρησις ὀδόντων’ ἑρμηνεύεται·

---

* Τό ἔργο τοῦ ἁγίου Μαξίμου χωρίστηκε σέ τόμους καί ἀναγράφονται οἱ σελίδες σύμφωνα μέ τή σειρά "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, γιά νά μπορεῖ εὔκολα ὁ ἀναγνώστης νά συμβουλεύεται μετάφραση. Τό κείμενο προέρχεται ἀπό τρεῖς πηγές: **1)** ἀπό τήν ἠλεκτρονική βιβλιοθήκη ἑλληνικῶν κειμένων, Thesaurus Linguae Graecae, TLG (http://www.tlg.uci.edu), **2)** κείμενα πού δέν περιλαμβάνονται στό TLG ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 90ος καί 91ος (τά δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), καί **3)** τά σχόλια στά ἔργα τοῦ ἁγίου Διονυσίου τοῦ Ἀρεοπαγίτη ἀπό τίς ἐκδόσεις ΒΥΖΑΝΤΙΟ, τό κείμενο περάστηκε ἀπό σκάνερ, ἀκολούθησε ὀπτική ἀναγνώριση χαρακτήρων καί ἔλεγχος.

Τόμος καί σελίδα γιά τίς ἐκδόσεις ΒΥΖΑΝΤΙΟ ἀναγράφονται μέ τόν ἀκόλουθο τρόπο: (≡15B_010≡>, δηλαδή ἀκολουθεῖ ἡ δέκατη σελίδα τοῦ 15Β τόμου. Ἐπίσης ὑπάρχει καί ἔνδειξη γιά τήν σελίδα τῆς πατρολογίας Migne (=0364=) ὅταν τό κείμενο προέρχεται ἀπό ἐκεῖ.

* Τό κείμενο προέρχεται ἀπό τήν πατρολογία τοῦ TLG, σέ ἀντιπαράθεση μέ τό κείμενο τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 14 Α**.

εἶτα καὶ οἰκοδομοῦμεν πύργον, τουτέστιν τὰ σαρκικὰ πάθη περὶ πολλοῦ ποιούμεθα καὶ οἰκοδομοῦμεν πάθος πάθει συνάπτοντες. «Ἕως δὲ τοῦ οὐρανοῦ»· οὐ γάρ ποτε παύσασθαι βούλονται οἱ περὶ τὰ μάταια τὴν σπουδὴν ἔχοντες, ἀλλ᾽ ἀπλήρωτον τὴν περὶ αὐτὰ ὄρεξιν ἔχουσιν. Παύει δὲ ὁ Θεὸς τὴν τοῦ πύργου οἰκοδομὴν καὶ «συγχεῖ τὰς γλώσσας» ὅτ᾽ ἂν πρὸς τὸ συμφέρον παιδεύων ἐγκόπτει τὴν ἡμετέραν κακίαν· ὅτ᾽ ἂν γὰρ τὸν ἐπὶ τῇ ἀκαθαρσίᾳ τῆς πορνείας ἡττημένον νόσῳ παιδεύει ἢ τὸν τῇ γαστριμαργίᾳ δεδουλωμένον πενίᾳ σωφρονίζει, οἱονεὶ ἐγκοπὴν τοῦ τῶν παθῶν πύργου ποιεῖται, «συγχέων» ἅμα καὶ τὰς γλώσσας· τὸν γὰρ πόρνον πάντοτε περὶ πορνείας μελετῶντα καταστείλας τῇ νόσῳ, εἰς τὴν περὶ τοῦ σώματος ὑγεῖαν ἀπασχολεῖσθαι ποιήσας, οἱονεὶ τὴν φωνὴν συγχέας τῆς συνεχοῦς μελέτης τοῦ πάθους.

ΕΡΩΤΗΣΙΣ 3

Τί σημαίνει «Δαβὶδ ψάλλων καὶ τὸ πονηρὸν πνεῦμα τοῦ Σαοὺλ καταπαύων»;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς ὁ κατὰ τὸν μακάριον Δαβὶδ ποιμαίνων τὰ πρόβατα, τουτέστιν τὸ λογιστικὸν τῆς ψυχῆς, καὶ νικῶν θυμὸν καὶ ἐπιθυμίαν καθάπερ ἐκεῖνος τὸν λέοντα καὶ τὴν ἄρκον, οὗτος τῷ λόγῳ τῆς διδασκαλίας χρώμενος μετά τινος ὑψηλῆς θεωρίας ἡδύνει τὸν ἀκούοντα καὶ τὰ ἐν αὐτῷ τῆς κακίας πάθη κατευνάζει.

ΕΡΩΤΗΣΙΣ 4

Ἐπειδὴ γέγραπται ἐν τῷ Εὐαγγελίῳ ὅτι «ἐάν τις μὴ (≡14A_014≡> γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος» καὶ ἐν ἄλλῳ τόπῳ πάλιν «αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί», παρακαλῶ μαθεῖν τίς ἡ διαφορά.

ΑΠΟΚΡΙΣΙΣ

Ἐν ἑκάστῳ τὸ ἅγιον Πνεῦμα γινόμενον, ὡς μὲν ὕδωρ τὸν τῆς σαρκὸς μολυσμὸν καθαίρει, ὡς δὲ Πνεῦμα τὰς τῆς ψυχῆς κηλίδας ἐκπλύνει, ὡς δὲ Πνεῦμα ἅγιον ὑποτίθεται τοὺς τρόπους τῶν ἀρετῶν, ὡς δὲ πῦρ Θεὸν κατὰ χάριν ἀποτελεῖ, τὰ θεῖα τῆς ἀρετῆς γνωρίσματα ἐπιλάμπον αὐτῷ.

ΕΡΩΤΗΣΙΣ 5

Ἐπειδὴ κατὰ τὸν Θεολόγον Γρηγόριον λέγοντα ἐν τῷ τῆς Πεντηκοστῆς λόγῳ, 'οἱ ἀπόστολοι διὰ τριῶν χαρισμάτων εἰλήφασιν τὸ τέλειον, πρῶτον μὲν νόσους ἰώμενοι καὶ δαίμονας ἀπελαύνοντες, δεύτερον δὲ τὸ μετὰ τὴν ἀνάστασιν ἐμφύσημα, τρίτον δὲ αὐτὸ οὐσιωδῶς τὸ Πνεῦμα ἐν εἴδει γλωσσῶν πυρίνων', πῶς τις, εἴπερ τοῖς ἀποστόλοις γένηται κατ᾽ ἀρετὴν ἰσοστάσιος, δύναται λαβεῖν τὰ εἰρημένα χαρίσματα καὶ πῶς χρὴ νοεῖν τὸ «οὐσιωδῶς», ὡς ἐν ὑποδείγματι ἑρμηνευθῆναι παρακαλῶ.

ΑΠΟΚΡΙΣΙΣ

Δυνατὸν καὶ ἡμᾶς, εἴπερ μιμηταὶ τῶν ἀποστόλων σπεύσωμεν γενέσθαι, πρῶτον μὲν διὰ τῆς πρακτικῆς ἐπιτάσσειν τοῖς πάθεσιν καὶ τὰς τῆς ψυχῆς ἐξιᾶσθαι νόσους, δεύτερον δὲ διὰ τῆς φυσικῆς θεωρίας τὴν φύσιν ἐφ᾽ ἑαυτὴν ἀποκαθιστάνειν, τρίτον διὰ τῆς τοῦ λόγου διδασκαλίας—τοῦτο γὰρ αἱ γλῶσσαι—πῦρ γίνεσθαι (≡14A_016≡> τοῖς ἀκούουσιν, ἅμα μὲν τὰ πάθη αὐτῶν πυρὸς δίκην

ἀναλίσκοντας, ἅμα δὲ καὶ φωτίζοντας. Πῶς δὲ ἐνήργει τὸ πρότερον τὸ ἅγιον Πνεῦμα καὶ πῶς οὐσιωδῶς τελευταῖον ἐν τοῖς ἀποστόλοις ἐπεφοίτησεν, ἀναγκαῖον ὡς ἐν ὑποδείγματι διερμηνεῦσαι. Καθάπερ ξύλον ἐπιτιθέμενον τηγάνῳ, εἶτα, τοῦ πυρὸς ὑφαπτομένου, διὰ μέσου τοῦ τηγάνου τῆς θέρμης τοῦ πυρὸς μεταλαμβάνει τὸ ξύλον, οὕτως τὸ πρότερον ἀμυδρῶς ἐνήργει τὸ Πνεῦμα ἐν τοῖς ἁγίοις· εἰ δέ τις κατὰ τὸ αὐτὸ ὑπόδειγμα ἐπαρεῖ τὸ διὰ μέσου τήγανον καὶ τὸ πῦρ ἀμέσως τοῦ ξύλου περιδράξεται, εὐθέως πρὸς τὴν οἰκείαν φύσιν ἀφομοιοῖ τὸ ξύλον. Οὕτως ὡς ἐν αἰσθητοῖς ὑποδείγμασιν εἰκάζειν ἔστιν τὸ «οὐσιωδῶς».

ΕΡΩΤΗΣΙΣ 6

Ἐπειδὴ ἡ Γραφὴ τρανῶς οὐ λέγει ὅτι δέδωκεν δεκάτας ὁ Ἀβραὰμ τῷ Μελχισεδέκ, ἄλλως τε δὲ καὶ εἰ πάντα ἀπέδωκεν, καθὼς αὐτὸς λέγει ὅτι «ἕως σφαιρωτῆρος ὑποδήματος» οὐκ ἔλαβεν, πόθεν δέδωκεν δεκάτας; Οὐδὲ γὰρ αὐτὸς ἴδιόν τι ἐπεφέρετο εἰς πόλεμον ἔκπληκτος ἀπερχόμενος.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ἡ θεία Γραφὴ «ἱερέα τοῦ Θεοῦ» τὸν Μελχισεδὲκ λέγει εἶναι, προσηκόντως ἄρα ὁ Ἀβραὰμ ὡς λαϊκοῦ τάξιν ἐπέχων δεδωκέναι τῷ ἱερεῖ τὰς δεκάτας πιστευθήσεται. Ὅτι δὲ καὶ εἶχεν πόθεν παρασχεῖν, ἐκεῖθεν δῆλον· οἱ γὰρ ἐπιστρατεύσαντες βασιλεῖς ἐπὶ Σόδομα οὐ μόνον τὰ Σοδόμων εἶχον λαβόντες, ἀλλὰ καὶ ἄλλων χώρων εἶχον μεθ᾽ ἑαυτῶν λάφυρα ἅπερ ἦσαν προαιχμαλωτεύσαντες· ἅπερ πάντα κατακόψας αὐτοὺς ὁ Ἀβραὰμ καὶ λαβών, τὰ μὲν τῶν Σοδομιτῶν ἀπέδωκεν, τὰ δὲ (≡14A_018≡> ἄλλα παρ᾽ ἑαυτῷ κατέσχεν· ἐξ ὧν καὶ τὰς δεκάτας τῷ Μελχισεδὲκ παρέσχετο.

ΕΡΩΤΗΣΙΣ 7

Τίνος χάριν οἱ μὲν κατὰ νόμον ἱερεῖς γυναῖκας ἔχειν οὐκ ἐκωλύοντο, οἱ δὲ κατὰ Χριστὸν ἱερεῖς κωλύονται ὅσον ἀπὸ τῆς συνηθείας;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ μὲν πρόχειρον, ὡς τοῦ Εὐαγγελίου ὑψηλοτέρου ὄντος καὶ ὡς πολλοῖς γέγονεν ἡ παρθενία βατὴ ἐξότου διὰ παρθενίας τεχθῆναι ὁ πάντων Δεσπότης ηὐδόκησεν, ὅπερ τοῖς ἀρχαίοις σπάνιον ἦν. Ἐπειδὴ δὲ ἡ τοῦ Εὐαγγελίου ἱερωσύνη κατὰ τὴν τάξιν Μελχισεδὲκ γενέσθαι πιστεύεται καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών, Μελχισεδὲκ δὲ γυναῖκα ἐσχηκέναι οὐκ ἀναγέγραπται, ἀναγκαίως ἄρα καὶ οἱ κατὰ τὴν αὐτοῦ τάξιν ἱερατεύοντες ἐπίσκοποι γυναῖκας οὐ προσίενται.

ΕΡΩΤΗΣΙΣ 8

Ἐπειδὴ γέγραπται ὅτι ὁ προφήτης Ἀμὼς «αἰπόλος ἦν κνίζων συκάμινα», τί ἐστιν «αἰπόλος» καὶ τί «τὸ κνίζειν»;

ΑΠΟΚΡΙΣΙΣ

«Αἰπόλος» ἐστὶν ποιμὴν αἰγῶν, τὸ δὲ «κνίζειν» ἐστὶν τὸ τεμεῖν. Ἐπειδὴ οὖν ὁ ὀπὸς τοῦ συκαμίνου ὠμός ἐστιν καὶ παχὺς καὶ βλαβερός, οἱ κνίζοντες τέμνουσιν μετὰ μαχαιρίων τὸ συκάμινον καὶ ποιοῦσιν ἀπορρεῦσαι τὸν ὀπόν. Ζῳύφια δὲ εἰσέρπουσιν ἔσωθεν καὶ τῆς ἀκτίνος τοῦ ἡλίου εἰσβαλλούσης,

γλυκαίνουσιν καὶ ἀπαλύνουσιν αὐτό. Καὶ ταῦτα μὲν κατὰ τὸ γράμμα· κατὰ δὲ τὸν τῆς ἀναγωγῆς τρόπον, ποιμήν ἐστιν αἰγῶν ὁ ποιμαίνων (≡14A_020≡> τῷ λόγῳ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς μέρος. Κνίζει δὲ συκάμινα ὁ τὸ σῶμα δι᾽ ἐγκρατείας ὑποπιάζων καὶ τὴν ὑγρότητα τῶν παθῶν ἀπορρέων· οὗτος γὰρ δίκην ζῳυφίων δέχεται θείους λογισμοὺς καὶ «ἡλίῳ τῆς δικαιοσύνης» γλυκαίνεται καὶ ἀπαλύνεται τὴν ψυχὴν καὶ προφήτης ἀπὸ Θεοῦ καὶ διδάσκαλος ἑτέροις καθίσταται.

ΕΡΩΤΗΣΙΣ 9

Τί σημαίνει ὁ χαλκοῦς ὄφις ὁ κατὰ πρόσταξιν Θεοῦ ὑπὸ Μωυσέως ἐφ᾽ ὑψηλοῦ κρεμασθεὶς ἐν τῇ ἐρήμῳ;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ ἐξαρχῆς ἀπατήσας τὸν ἄνθρωπον ὁ νοητὸς ὄφις διὰ τῆς παρακοῆς ἐν τῇ σαρκὶ τὸν τῆς ἁμαρτίας νόμον ἡμῖν ἐγκατέμιξεν, ὄφεως δίκην ἕρπων ἐν ἡμῖν διὰ τῆς ἡδονῆς, διὰ τοῦτο ὁ τὴν ἔρημον παθῶν ἀρετὴν βαδίζων ἐὰν στραφῇ εἰς Αἴγυπτον, τουτέστιν εἰς τὸν τῆς ἁμαρτίας σκοτασμόν, ὑπὸ τῶν νοητῶν ὄφεων πλήττεται· ἐὰν δὲ εἰς τὸν σταυρωθέντα Κύριον ἀτενίσει, οὗτινος ἡ σὰρξ ἐφ᾽ ὕψους κρεμασθεῖσα νεκρὸν εἶχεν τὸν ἐν τῇ ἡμετέρᾳ σαρκὶ τοῦ ὄφεως τῆς ἁμαρτίας νόμον καὶ ἀνενέργητον, σῴζεται. Χαλκοῦς δὲ ὁ ὄφις, ἐπειδὴ οὔτε μείωσιν οὔτε ἰὸν ἐπιδέχεται ἡ τοῦ χαλκοῦ φύσις, ὥσπερ οὐδὲ ὁ Κύριος προσήκατο ἰὸν ἁμαρτίας «οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδεν διαφθοράν».

Ἐπειδὴ δὲ ὁ Θεολόγος Γρηγόριος μέμνηται λέγων «ὁ δὲ χαλκοῦς ὄφις κρεμνᾶται μὲν κατὰ τῶν δακνόντων ὄφεων, οὐχ ὡς δὲ τύπος τούτου τοῦ ὑπὲρ ἡμῶν παθόντος, ἀλλ᾽ ὡς ἀντίτυπος» καὶ ὅτι «ὁ πιστεύων συννεκροῖ τὰς ὑπ᾽ αὐτὸν δυνάμεις», ἀναγκαῖον καὶ ταῦτα διασαφῆσαι. Ὁ δι᾽ ἀρετῆς καὶ γνώσεως τὸ (≡14A_022≡> τῆς ψυχῆς ὀπτικὸν ἀνακαθήρας γινώσκει σαφῶς ὅτι ἡ κακία ἀνυπόστατός ἐστιν καὶ ἐν οὐδενὶ τῶν ὄντων ὑπάρχουσα εἰ μὴ μόνον ἐν τῷ πράττεσθαι. Ἐπεὶ οὖν ὁ ἀρχέκακος ὄφις τὴν σκολιότητα τῆς ἁμαρτίας ἐν τῷ ἀνθρώπῳ διὰ τῆς παρακοῆς ἐνεκέρασεν, ἐνκελεύεται Μωυσῆς κρεμάσαι τὸν χαλκοῦν ὄφιν, παραδηλῶν τὸ μέλλον ἐπὶ τοῦ Κυρίου γενήσεσθαι· αὐτὸς γὰρ καὶ μόνος διὰ τοῦ πάθους τοῦ σταυροῦ ἐστηλίτευσεν τὴν ἁμαρτίαν καὶ ἔδειξεν ἀνενέργητον καὶ νεκράν. Ὅστις οὖν ἀτενίζει ἐν αὐτῷ καὶ πιστεύει νενεκρῶσθαι καὶ ἀνενέργητον γενέσθαι τὸν ἐχθρόν, οὗτος καὶ «συννεκροῖ τὰς ὑπ᾽ αὐτὸν δυνάμεις»· οὐκέτι γὰρ οὔτε διὰ τῶν αἰσθήσεων οὔτε διὰ τῶν αἰσθητῶν δι᾽ ὧν εἶχεν τὸ κράτος, καταβλάψαι δύναται· διὰ τοῦτο οὖν εἴρηται τῷ πατρὶ «οὐχ ὡς τύπος, ἀλλ᾽ ὡς ἀντίτυπος», ὡς παραδηλοῦντος τὴν τοῦ διαβόλου νέκρωσιν.

ΕΡΩΤΗΣΙΣ 10

Πῶς χρὴ καὶ ἡμᾶς, εἴπερ «ὁ νόμος πνευματικός ἐστιν», ἑορτάζειν τὸ σάββατον τῶν ἡμερῶν καὶ τὸ σάββατον τῶν ἑβδομάδων ὅπερ ἐστὶν ἡ Πεντηκοστή, καὶ τὸ σάββατον τῶν ἐνιαυτῶν τὴν ἑπταετερίδα, καὶ τὸ σάββατον τῆς ἑπταετερίδος ὅπερ ἐστὶν ὁ Ἰωβηλαῖος;

ΑΠΟΚΡΙΣΙΣ

Ἑορτάζομεν τὴν ἑβδομάδα τῶν ἡμερῶν ὅτ᾽ ἂν τὴν τῶν κακῶν ἐνέργειαν παύσωμεν, [ἢ] ἑορτάζομεν δὲ καὶ τὸ σάββατον τῶν ἑβδομάδων ὅτε τὰς συγκαταθέσεις τῶν πονηρῶν λογισμῶν παύσωμεν. Ἑορτάζομεν δὲ καὶ τὸ σάββατον τῶν ἐνιαυτῶν ὅτε τὴν προσβολὴν τῆς ἐπιθυμίας μὴ παραδεξώμεθα, ἐπειδὴ ὁ ἐνιαυτὸς ἔχει τῶν καρπῶν τὴν ἀναβλάστησιν καὶ τὴν ἐπιθυμίαν ἐν τούτοις διεγείρουσαν. Ἑορτάζομεν δὲ καὶ τὸν ἰωβηλαῖον ὅτε τὰς μνήμας τῶν κακῶν καὶ φαντασίας τὰς ἐκ προλήμψεως ἡμῖν ἐπισυμβαινούσας τέλεον καταπαύσωμεν· τὸ γὰρ ἰωβηλαῖον (≡14A_024≡> ἑρμηνεύεται ‘ζῶντος λύσις δεσμῶν’ ἢ ‘ζῶντος ἀπαλλαγὴ πένθους·’ ὅτε γάρ τις τὴν ἀπάθειαν τελείαν κτήσηται, τότε λύεται τῶν δεσμῶν τῆς ἁμαρτίας καὶ τοῦ πένθους ἀπαλλαγεὶς χαρὰν τῇ ψυχῇ εἰσοικίζεται.

ΕΡΩΤΗΣΙΣ 11

Τί σημαίνει Ἐλισσαῖος ἀναστήσας τὸν υἱὸν τῆς Σουμανίτιδος;

ΑΠΟΚΡΙΣΙΣ

Ἐλισσαῖος ὁ προφήτης δηλοῖ τὸν Κύριον, ὁ δὲ τῆς Σουμανίτιδος παῖς τὴν ἀνθρωπείαν φύσιν. Ἐπειδὴ γὰρ ἠσθένησεν αὐτὴ διὰ τῆς παραβάσεως καὶ τῷ διαβολικῷ καύσωνι ἐθανατώθη, ἀπέστειλεν ὁ Κύριος τὸν Μωυσῆν διὰ ῥάβδου θαυματουργοῦντα, καθάπερ καὶ Ἐλισσαῖος τὸν Γιεζεί, καὶ οὐκ ἀνέστησεν τὸν ἄνθρωπον, οὔτε δὲ οἱ προφῆται τοῦτο ἴσχυσαν. Αὐτὸς οὖν διὰ φιλανθρωπίαν ὁ Κύριος τὴν ἡμετέραν σάρκα ἀναλαβών, διὰ τῶν ταύτης παθημάτων τὴν νεκρωθεῖσαν ἡμῶν φύσιν ἐζωοποίησεν.

ΕΡΩΤΗΣΙΣ 12

Τί δήποτε ὁ μὲν εἷς τῶν εὐαγγελιστῶν τὴν γενεαλογίαν ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ποιεῖται, ὁ δὲ ἕτερος τὸ ἐναντίον;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι ὅτι οὐκ ἀσκόπως, μᾶλλον δὲ καὶ λίαν μυστικῶς τοῦτο πεποιήκασιν· ἐπειδὴ γὰρ οἱ μὲν τῶν πιστῶν ἀπὸ τῶν ἐπαγγελιῶν ἐπὶ τὴν πρᾶξιν τῶν ἐντολῶν κατάγονται, οἱ δὲ ἀπὸ (≡14A_026≡> τῆς πράξεως τῶν ἐντολῶν ἀρχόμενοι ἐπὶ τὰς ἐπαγγελίας ἀνάγονται, τούτου χάριν ὁ μὲν κατάγει, ὁ δὲ ἀνάγει τὴν γενεαλογίαν.

ΕΡΩΤΗΣΙΣ 13

Τίνος χάριν ἐν τῇ προθέσει τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Κυρίου τοὺς ἄρτους καὶ τὰ ποτήρια ἄνισα προτίθειν ἔθος ἐστὶν τῇ Ἐκκλησίᾳ;

ΑΠΟΚΡΙΣΙΣ

Πάντα ὑπερφυῆ λόγον ἔχουσιν τὰ ἐν τῇ Ἐκκλησίᾳ τελούμενα. Ἐπειδὴ δὲ κατ᾽ ἐξαίρετον τὰ σύμβολα ταῦτα τῆς θείας οὐσίας εἰσὶν μυστήρια καὶ ἀπεικονίσματα, ἔστιν δὲ αὕτη ἀσύνθετος—πᾶσα δὲ κτίσις σύνθετός ἐστιν, μόνη δέ, ὡς εἴρηται, ἡ ἁγία Τριὰς ἁπλῆ καὶ ἀσύνθετος—διὰ τοῦτο οὖν ἄνισα προτίθησιν ἡ Ἐκκλησία τοὺς ἄρτους καὶ τὰ ποτήρια, τὸ θεῖον ἐν τούτοις χαρακτηρίζουσα.

ΕΡΩΤΗΣΙΣ 14

Ἐπειδή τινες ἀποροῦσιν ὅτι "πῶς λαθεῖν λέγεται πάσας τὰς οὐρανίους δυνάμεις ἡ τοῦ Κυρίου ἐνανθρώπησις, ὁπόταν

εὑρίσκωμεν ὅτι καὶ αἱ προφητεῖαι αἱ περὶ τοῦ Κυρίου δι᾽ ἀγγέλων γεγόνασιν καὶ τὴν σύλληψιν τῆς παρθένου ὁ Γαβριὴλ εὐαγγελίζεται καὶ τοὺς ποιμένας ἄγγελοι μυσταγωγοῦσιν;" τί οὖν ἐστιν τὸ λαθὸν τοὺς ἀγγέλους;

ΑΠΟΚΡΙΣΙΣ

Ὅτι μὲν ᾔδεισαν οἱ ἄγγελοι τὴν μέλλουσαν ἔσεσθαι ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τοῦ Κυρίου ἐνανθρώπησιν, οὐ δεῖ ἀμφιβάλλειν. Ἐκεῖνο δὲ ἔλαθεν αὐτούς, ἡ ἀκατάληπτος τοῦ Κυρίου (≡14A_028≡> σύλληψις καὶ ὁ τρόπος πῶς ὅλος ἐν τῷ Πατρὶ καὶ ὅλος ὢν ἐν πᾶσιν καὶ πάντα πληρῶν, ὅλος ἦν ἐν τῇ γαστρὶ τῆς Παρθένου.

ΕΡΩΤΗΣΙΣ 15

Τί δήποτε ἐν τῷ ὄρει Γεβάλ, ἐν ᾧ αἱ κατάραι ἐδόθησαν, προστάσσεται ὁ τοῦ Ναυὴ Ἰησοῦς θυσιαστήριον οἰκοδομῆσαι καὶ γράψαι τὸν νόμον;

ΑΠΟΚΡΙΣΙΣ

'Γαρίζιν' ἑρμηνεύεται ‘περιτομή,’ 'Γεβὰλ' δὲ ‘φύραμα·’ ἐν τῷ φυράματι οὖν τῆς ἐθνικῆς μερίδος τῆς κατηραμένης πήγνυσιν θυσιαστήριον ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, τουτέστιν τὴν Ἐκκλησίαν, ἐγγράφων τὸν νόμον οὐκ ἐν πλαξὶν 'λιθίναις ἀλλ᾽ ἐν πλαξὶν' «καρδίαις σαρκίναις». Ἐκ λίθων δὲ τελείων, «ἐφ᾽ οὓς οὐκ ἐπεβλήθη σίδηρος», τὸ θυσιαστήριον οἰκοδομηθῆναι λέγει, δηλῶν τοὺς νοητοὺς λίθους τοὺς ἀποστόλους, ἀπελεκήτους διὰ τὸ ἁπλοῦν τῶν τρόπων καὶ ἀπέριττον γενομένους· ἐξ ὧν ἡ τῶν ἐθνῶν Ἐκκλησία συνέστη.

ΕΡΩΤΗΣΙΣ 16

Τί σημαίνει ὅπερ ἀπειλεῖ ὁ προφήτης τοὺς ποιοῦντας «χαύωνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ» παραδίδοσθαι τῷ Ναβουχοδονόσορ ὥστε ἐν τῇ πύλῃ Ἱερουσαλὴμ πῆξαι τὸν θρόνον αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Χαύωνές εἰσιν ἀρτίδια ἐκ διαφόρων εἰδῶν ὄντα, ἅπερ ποιοῦντες οἱ Ἰουδαῖοι καὶ αἱ γυναῖκες αὐτῶν ἐτίθουν ἐν ταῖς θυρίσιν τῶν οἴκων, δεχόμεναι τὴν αὐγὴν τῆς σελήνης καὶ τοῦ ἑωσφόρου. Ἐπειδὴ οὖν χαύωνες ‘θυρίδες’ ἑρμηνεύονται, τοῦτο (≡14A_030≡> ὑποβάλλει νοεῖν ὅτι ὅστις διὰ τῆς ἡδονῆς τὰς αἰσθήσεις πρὸς τὰ αἰσθητὰ ἐπιτερπῶς ἔχει, οὗτος χαύωνας ποιεῖ. Διὰ τοῦτο καὶ τὸν νοητὸν Ναβουχοδονόσορ ἐν τῇ πύλῃ Ἱερουσαλήμ, τουτέστιν ἐν τῇ ψυχῇ, δέχεται βασιλεύοντα ἐν αὐτῇ, ἐκθλίβων αὐτὴν ὡς ὑποχείριον· Ναβουχοδονόσορ γὰρ ἑρμηνεύεται ‘προφητεύων κρίσιν θλίψεως.’

ΕΡΩΤΗΣΙΣ 17

Τί δηλοῦσιν αἱ κατὰ τὸν νόμον προσαγόμεναι πέντε θυσίαι· τὸ πρόβατον, ὁ βοῦς, ἡ αἴξ, ἡ τρυγὼν καὶ ἡ περιστερά;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν μίαν ἐπιβολὴν λαμβάνεται ὁ κριὸς μὲν ὡς ἡγεμονικὸν ἐπὶ τοῦ λογιστικοῦ, ὁ δὲ ταῦρος ἐπὶ τοῦ θυμικοῦ, ἡ δὲ αἶξ ἐπὶ τοῦ ἐπιθυμητικοῦ, ἡ δὲ τρυγὼν ἐπὶ τῆς σωφροσύνης, ἡ περιστερὰ δὲ ἐπὶ τοῦ ἁγιασμοῦ. Εἰ δὲ δεῖ καὶ τὰ ἑκάστου ζῴου προσόντα φυσικῶς ζητῆσαι καὶ ἑκάστου αὐτῶν τὴν πρόσφορον

ἐφαρμόσαι θεωρίαν, φασὶν οἱ τὰ τοιαῦτα ἐπεσκεμμένοι ὅτι τρία προσάγει τῷ κεκτημένῳ τὸ πρόβατον, τὸν μαλλόν, τὸ γάλα, τὸν ἀμνόν· ἡ δὲ κόρη τοῦ ὀφθαλμοῦ αὐτοῦ συμπεριπολεῖ τῷ ἡλίῳ καὶ ἑκάστης ἡμέρας ἀφοδεύει σπυράθους τριακοσίους ἑξηκοντα πέντε. Τὸ δὲ λογικὸν πρόβατον ὁ ἄνθρωπος, εἴπερ ἑαυτὸν θυσίαν προσφέρειν τῷ κεκτημένῳ Θεῷ ἐσπούδακεν, χρεωστεῖ διδόναι ὥσπερ μαλλὸν τὴν ἠθικὴν πρᾶξιν, ὡς δὲ γάλα τὴν φυσικὴν θεωρίαν—θρεπτικὴ γὰρ αὐτὴ τοῦ νοῦ —ὡς δὲ ἀμνὸν τὸν μαθητευόμενον ἀπογεννᾶν διὰ τῆς ἰδίας διδασκαλίας κατὰ πάντα ὅμοιον ἑαυτῷ καὶ τέλειον προσάγειν τῷ Θεῷ. Ἀλλὰ καὶ τὴν κόρην τοῦ ὀφθαλμοῦ ὁ τοιοῦτος ἔχει τῷ ἡλίῳ συμπεριπολοῦσαν, τουτέστιν τὸν νοῦν τῷ ἡλίῳ τῆς δικαιοσύνης διὰ τῆς προνοητικῆς (≡14A_032≡> τῶν ὄντων διοικήσεως φέροντι τὰ ἡμέτερα συμπεριπολεῖ, τουτέστιν ἐπακολουθεῖ· ἔν τε γὰρ θλίψεσιν ἔν τε εὐημερίαις εὐχαριστῶν ἕπεται τῇ καλῶς ἀγούσῃ τὰ πάντα προνοίᾳ. Ἀποβάλλει δὲ ὁ τοιοῦτος ἑκάστης ἡμέρας σπυράθους τξε (365), τουτέστιν τὰ ὑπὸ χρόνον καὶ γένεσιν ὡς φθαρτὰ καὶ περισσὰ ἑκάστοτε ἀπορρίπτει.

Περὶ δὲ τοῦ βοός φασιν ὅτι τὴν καρδίαν τρίγωνον κέκτηται, τὸν δὲ νεφρὸν πεντάβολον· ἔχει δὲ καὶ τρεῖς στομάχους καὶ τὴν μὲν ἡμέραν φωτοειδεῖς ἔχει τοὺς ὀφθαλμούς, τῇ δὲ νυκτὶ πυροειδεῖς καὶ τρίτον τῆς ἡμέρας καὶ τρίτον τῆς νυκτὸς κατ᾽ ἀνατολὰς ὁρῶν πνέει φυσῶν· ὁ δὲ δεξιὸς αὐτοῦ ῥὶς εὐωδιάζει μόσχον, τὸ δὲ αἷμα αὐτοῦ ἀναιρετικόν ἐστιν πάντων τῶν ἡμέρων ζῴων χωρὶς τοῦ κυνός. Δεῖ οὖν καὶ ἡμᾶς ὥσπερ βοῦν τὸν ζυγὸν φέροντας τοῦ Χριστοῦ καὶ τὸ ἄροτρον τοῦ λόγου μεταχειριζομένους, τὰς λιθίνας ἀνατέμνειν καρδίας καὶ τὰς μὲν ἀκάνθας τῶν παθῶν ἐκριζοῦν, πλατύνειν δὲ τὴν γῆν τῆς καρδίας πρὸς ὑποδοχὴν τοῦ θείου λόγου· ἔχειν δὲ καὶ τὴν καρδίαν τρίγωνον, τουτέστιν τὸν περὶ Τριάδος λόγον ὑγιῆ ἔχειν ἐν τῇ καρδίᾳ, ἵνα ὥσπερ ἡ καρδία διαδίδωσι φυσικῶς τὴν ζωὴν τῷ σώματι, οὕτως καὶ ἡ εἰς Θεὸν εὐσέβεια τὰ μέλη τῆς ψυχῆς συνίστησιν· τὸν δὲ νεφρὸν ἔχειν πεντάβολον, τουτέστιν τὸ ἐπιθυμητικὸν μὴ πρὸς τὰ πάθη τετράφθαι, ἀλλὰ διὰ τῶν πέντε αἰσθήσεων τὴν κτίσιν κατοπτεύειν εἰς μόνην ἐπιθυμίαν καὶ ἀγάπην τοῦ κτίσαντος· τρεῖς δὲ καὶ στομάχους κεκτῆσθαι· ὁ στόμαχος πρῶτον τὰ σιτία δεχόμενος καὶ διὰ τῆς πεπτικῆς δυνάμεως τὸ εἰλικρινὲς αὐτῶν ἑκάστῳ τῶν μελῶν παραπέμψας, τὸ λοιπὸν τῇ κοιλίᾳ δίδωσιν.

Οὕτως οὖν καὶ ἡμᾶς προσῆκεν διὰ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς θεωρίας ἀγομένους καὶ τὰ πρόσφορα πᾶσιν τοῖς μέλεσιν τῆς ψυχῆς ἀπονέμοντας, καὶ τοῦ ἥττονος προνοεῖσθαι μέρους, τουτέστιν τοῦ σώματος· τοῦτο γὰρ ἡ κοιλία· τρίτον δὲ τῆς ἡμέρας καὶ τρίτον τῆς νυκτὸς ἀφορῶντας πρὸς ἀνατολὰς (≡14A_034≡> πνέειν, τουτέστιν τὴν τρισσὴν τοῦ Θεοῦ πρόνοιαν συντηρητικὴν καὶ ἐπιστρεπτικὴν καὶ παιδευτικὴν ἀφορῶντας, ἔν τε νυκτὶ πειρασμῶν ἔν τε ἡμέρᾳ εὐημερίας εὐχαριστεῖν· ἔχειν δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐν μὲν νυκτὶ πυροειδεῖς, ἐν δὲ ἡμέρᾳ φωτοειδεῖς, τουτέστιν τὴν θεωρητικὴν δύναμιν ἐν μὲν τῇ ἡμέρᾳ τῶν ἀρετῶν τὰς ἐκ τοῦ ἡλίου τῆς δικαιοσύνης ἀκτίνας τῆς γνώσεως

ὑποδεχομένην, ἐν δὲ τῇ νυκτὶ τῶν ὑπὲρ ἀρετῆς ἐπαγομένων ἀλλεπαλλήλων πειρασμῶν τοὺς λόγους καταλαμβάνουσαν τῶν ἐγκαταλείψεων· ἔχειν δὲ καὶ τὸν δεξιὸν ῥῖνα εὐώδη· δεξιὸν μέρος τοῦ ἀνθρώπου ἐστὶν ἡ ψυχή, ἐπειδὴ διπλοῖ ἐσμεν ἐκ ψυχῆς καὶ σώματος· ὁ οὖν διὰ τὰς τῆς ψυχῆς ἀρετὰς τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐπισπασάμενος γίνεται τοῖς ἄλλοις εὐώδης. Τὸ δὲ αἷμα τοῦ τοιούτου ἀναιρετικόν ἐστιν τῶν ἡμέρων ζῴων, τουτέστιν ὁ κατὰ παρατροπὴν θυμὸς ἀναιρετικός ἐστιν τοῖς μιμουμένοις αὐτὸν ἀνθρώποις, τροφὴ δὲ τοῖς ὑλακτοῦσιν καθ᾽ ἡμῶν δαίμοσιν.

Ἡ δὲ αἶξ φύσιν ἔχει τοιαύτην· τὰ ὄρη εὐκόλως ἀναβαίνουσα κρημνοβατεῖ καὶ ἐπιτέρπεται τῶν μουσικῶν μελῶν καὶ τὸ δεξιὸν αὐτῆς κέρας ἐὰν θυμιαθῇ ἐν οἱῳδήποτε τόπῳ, σεισμοῦ φαντασίαν παρέχει· ἀφοδεύει δὲ ἑκάστης ἡμέρας σπυράθους διακοσίους. Δεῖ οὖν καὶ τὴν ἡμετέραν ψυχὴν τοὺς κρημνοὺς τῶν πειρασμῶν εὐθαρσῶς διαπηδᾶν καὶ τὰ προφητικὰ ὄρη ἀναβαίνοντας τὸ ὕψος τῆς γνώσεως θηρᾶσθαι καὶ ἐπὶ ταύτῃ ἥδεσθαι, καὶ οὐ μόνον ἥδεσθαι ἀλλὰ καὶ διὰ τοῦ δόνακος, τουτέστιν τοῦ ἐμπράκτου λόγου διδάσκοντας ἡδονὴν ἐντιθέναι τοῖς ἀκούουσιν. Τὸ δὲ δεξιὸν κέρας σημαίνει ὅτι ὁ τὸ θεωρητικὸν τῆς ψυχῆς διὰ τῆς προσευχῆς τῷ Θεῷ προσαγαγών, εὐώδης γινόμενος τοῖς ἀκούουσιν, τὴν ἐν αὐτοῖς ἕξιν τῶν σαρκικῶν παθῶν διασαλεύει. Ὁ τοιοῦτος ἑκάστοτε τὴν περὶ τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἀποβάλλει πλάνην· αἱ γὰρ αἰσθήσεις τῶν αἰσθητῶν συμπλεκόμεναι· *** οἷον, δεκαπλούμενος ὁ τέσσαρα[ς] ἀριθμὸς (≡14A_036≡> ποιεῖ τὸν τεσσαράκοντα, οὗτος δὲ πενταπλούμενος ἀποτελεῖ τὰ διακόσια.

ΕΡΩΤΗΣΙΣ 18

Τί ἐστιν τὸ δίδραγμον ὅπερ καὶ ὁ Κύριος ἀπαιτεῖται τελέσαι καὶ τίς ὁ ἰχθὺς ὃν ὁ Πέτρος κρατῆσαι κελεύεται καὶ τὸν ἐν αὐτῷ στατῆρα λαβεῖν καὶ δοῦναι τοῖς ἀπαιτοῦσιν;

ΑΠΟΚΡΙΣΙΣ

Οἱ ἀπαιτοῦντες τὰ δίδραγμα εἰκόνα φέρουσιν τῶν φυσικῶν ἐν ἡμῖν παθῶν· οὗτοι προσῆλθον τῷ Πέτρῳ, τουτέστιν τῷ πρακτικῷ τοῦ Κυρίου καὶ ταπεινῷ καὶ μαθητοῦ τρόπον τῷ πατρὶ ὑπακούσαντι, ἀπαιτοῦντες ὡς ἄνθρωπον ἅπερ εἶχον ἔθος πάντας ἀνθρώπους δασμολογεῖν. Ὁ δὲ Κύριος ἔδειξεν ὡς Θεὸς καὶ Δεσπότης διὰ τῆς παραβολῆς ἑαυτὸν ἐλεύθερον· ἀλλ᾽ ἐπείπερ τὴν ἡμετέραν ὑποδὺς σάρκα καὶ τὰ ταύτης κατεδέξατο ἀδιάβλητα πάθη, ταῦτα καὶ τελέσαι τῇ φύσει ἠνέσχετο χωρὶς ἁμαρτίας. Ἐπειδὴ γὰρ κατ᾽ ἀρχὰς πλάσας τὸν ἄνθρωπον καὶ δύο γενικοὺς αὐτῷ λόγους ἐνθέμενος, ἕνα μὲν προηγούμενον τὸν τῆς ψυχῆς, ἕτερον δὲ κατὰ πρόνοιαν τὸν τῆς σαρκός, οὐδοποτέρῳ δὲ τούτων ἐμμείναντος, ἀλλὰ τὸν μὲν τῇ παραβάσει τῆς ἐντολῆς, τὸν δὲ τῇ παραχρήσει τῶν ὅρων τῆς φύσεως παρατρώσαντος, ὅντινα λόγον ἐν τῷ πάθει κρύψας εἴασεν νήχεσθαι ἐν τῇ θαλάσσῃ τοῦ ταραχώδους βίου, διὰ τοῦτο ἀπαιτουμένου τοῦ Κυρίου τελέσαι τὸν φόρον τῆς φύσεως, ὡς Δεσπότης καὶ διορθωτὴς τῆς φύσεως, διὰ τοῦ λόγου τῆς πράξεως τὸ ἐννηχόμενον ἐν τῇ θαλάσσῃ τοῦ βίου γλίσχρον τῆς ἁμαρτίας πάθος κρατήσας καὶ τὸν ἐν αὐτῷ καταποθέντα λόγον, τουτέστιν τὸν ἐξαρχῆς κατὰ παραχώρησιν

δεδομένον ὅρον τῆς χρείας, ἀνασπάσας, (≡14A_038≡> ἐλεύθερον τοῦ τῆς παραχρήσεως πάθους τῇ φύσει ἀπέδωκεν.

ΕΡΩΤΗΣΙΣ 19

Ἐπειδὴ Γρηγόριος ὁ Νύσσης ἐν τοῖς ἑαυτοῦ συγγράμμασιν φαίνεται τοῖς μὴ τὸ βάθος ἐπισταμένοις τῆς ὑψηλῆς αὐτοῦ θεωρίας πολλαχοῦ ἀποκατάστασιν ὑπεμφαίνειν, παρακαλῶ ὅπερ ἐπίστασαι περὶ τούτου εἰπεῖν.

ΑΠΟΚΡΙΣΙΣ

Τρεῖς ἀποκαταστάσεις οἶδεν ἡ Ἐκκλησία· μίαν μὲν τὴν ἑκάστου κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἐν ᾗ ἀποκαθίσταται τὸν ἐπ᾽ αὐτῷ λόγον τῆς ἀρετῆς ἐκπληρώσας· δευτέραν δὲ τὴν τῆς ὅλης φύσεως ἐν τῇ ἀναστάσει, τὴν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἀποκατάστασιν· τρίτη δέ, ᾗ καὶ μάλιστα κατακέχρηται ἐν τοῖς ἑαυτοῦ λόγοις ὁ Νύσσης Γρηγόριος, ἐστὶν αὕτη· ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ὑποπεσουσῶν εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις. Δεῖ γὰρ ὥσπερ τὴν ὅλην φύσιν ἐν τῇ ἀναστάσει τὴν τῆς σαρκὸς ἀφθαρσίαν χρόνῳ ἐλπιζομένῳ ἀπολαβεῖν, οὕτως καὶ τὰς παρατραπείσας τῆς ψυχῆς δυνάμεις τῇ παρατάσει τῶν αἰώνων ἀποβαλεῖν τὰς ἐντεθείσας αὐτῇ τῆς κακίας μνήμας καὶ περάσασαν τοὺς πάντας αἰῶνας καὶ μὴ εὑρίσκουσαν στάσιν εἰς τὸν Θεὸν ἐλθεῖν, τὸν μὴ ἔχοντα πέρας, καὶ οὕτως, τῇ ἐπιγνώσει οὐ τῇ μεθέξει τῶν ἀγαθῶν, ἀπολαβεῖν τὰς δυνάμεις καὶ εἰς τὸ ἀρχαῖον ἀποκαταστῆναι καὶ δειχθῆναι τὸν δημιουργὸν ἀναίτιον τῆς ἁμαρτίας.

ΕΡΩΤΗΣΙΣ 20

Τί σημαίνει ἡ κατὰ τὸν Βὴλ ἱστορία καὶ τίς ὁ Δανιὴλ καὶ ὁ βασιλεὺς Δαρεῖος γινώσκων τὰ ἴχνη τῶν εἰσελθόντων ὅτι ἀνδρῶν καὶ γυναικῶν καὶ παιδίων εἰσίν;

(≡14A_040≡> ΑΠΟΚΡΙΣΙΣ

Πᾶς ἄνθρωπος ἐν τῇ ‘συγχύσει’ τοῦ βίου γινόμενος— τοῦτο γὰρ ἡ Βαβυλὼν ἑρμηνεύεται—ναὸν τὴν ἑαυτοῦ ψυχὴν ποιεῖ τῷ Βήλ, τουτέστιν τῷ διαβόλῳ· ἐν ᾧ εἰ γένηται ὁ Δανιήλ, τουτέστιν ὁ νόμος τοῦ Θεοῦ—’κρίσις’ γὰρ ‘Θεοῦ’ Δανιὴλ ἑρμηνεύεται—διδάσκει τὸν Δαρεῖον, τουτέστιν τὸν βασιλέα νοῦν, ὅτι τὰ ἴχνη τῶν ἐν τῷ ναῷ, τουτέστιν τῆς ψυχῆς, περιπατούντων ἀνδρῶν εἰσιν καὶ γυναικῶν καὶ παιδίων, τουτέστιν θυμοῦ καὶ ἐπιθυμίας καὶ ἀγνοίας· ὅθεν ὁ βασιλεὺς νοῦς τοῦτο γινώσκων παραδίδωσι τῇ κρίσει, τῷ νόμῳ τοῦ Θεοῦ, εἰς τὸ πάντας ἄρδην ἀπολέσθαι. Ἡ δὲ πασθεῖσα κονία δηλοῖ τὴν ἄσκησιν καὶ τὴν ταπείνωσιν· διὰ τούτων γὰρ κατάδηλα γίνονται τῷ νῷ τὰ ἴχνη τῶν ἐν τῇ ψυχῇ διαθεόντων παθῶν.

ΕΡΩΤΗΣΙΣ 21

Πῶς δεῖ νοεῖν τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον «ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος»;

ΑΠΟΚΡΙΣΙΣ

«Ἀπαρχὴ Χριστὸς» διὰ τῆς ἀναστάσεως γέγονεν, «ἔπειτα οἱ τοῦ Χριστοῦ», οἱ εἰς αὐτὸν πιστεύσαντες, «εἶτα τὸ τέλος», πάντων τῶν ἐθνῶν ἡ διὰ πίστεως σωτηρία. Εἰ δὲ καὶ εἰς τὸν καθένα θέλεις

ἐκλαβεῖν τὰ εἰρημένα, «ἀπαρχὴ Χριστός» ἐστιν ἡ εἰς αὐτὸν πίστις, «ἔπειτα οἱ τοῦ Χριστοῦ», τὰ ἔργα τῆς πίστεως, «εἶτα τὸ τέλος», τὸ χωρισθῆναι πάντων, αἰσθητῶν τε καὶ νοητῶν, καὶ διὰ γνώσεως κολληθῆναι τῷ Θεῷ. Τὸ δὲ ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατός ἐστιν ὅτ᾽ ἂν καὶ αὐτοὶ τὸ αὐτεξούσιον θέλημα ἅπαν τῷ Θεῷ παραχωρήσωμεν· τότε καταργεῖται καὶ ὁ ἔσχατος ἐχθρός· θάνατος δὲ λέγεται ἐπειδὴ ἡ (≡14A_**042**≡> ζωὴ ὁ Θεός ἐστιν, τὸ δὲ ἀντικείμενον τῇ ζωῇ εἰκότως λέγεται θάνατος.

ΕΡΩΤΗΣΙΣ 22

Τί σημαίνει τὸ τόξον ὅπερ ἔθετο ἐν τῇ νεφέλῃ ὁ Θεὸς εἰς διαθήκην πρὸς τὸ γένος τὸ ἀνθρώπινον;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ τὸ τόξον τετράχροόν ἐστιν, δηλοῖ τὴν σάρκα τοῦ Κυρίου ἐκ τεσσάρων καθ᾽ ἡμᾶς γενομένην στοιχείων καὶ μὴ ἔχουσαν αἰτίαν συστάσεως καθάπερ οὐδὲ τὸ τόξον. Ταύτην ἔθετο ἐν τῇ νεφέλῃ, τουτέστιν ἐν τῷ κόσμῳ· νεφέλη δὲ ὁ κόσμος διὰ τὴν ὀργὴν τοῦ Θεοῦ ἤτοι τὸ ἐπιτίμιον τοῦ θανάτου· ποτὲ μὲν γὰρ ἐπὶ καλοῦ λαμβάνεται ἡ νεφέλη ὡς ἡπίως ἀρδεύουσα καὶ ὡς ἀπὸ καύσωνος σκιάζουσα, ποτὲ δὲ καὶ ἐπὶ ὀργῆς ὡς διὰ τὸ ῥαγδαῖον καὶ σφοδρὸν καταστρέφειν καὶ χαλαζοῦν. Κατὰ τοῦτο οὖν ἐν τῇ νεφέλῃ τίθεσθαι τὸ τόξον λέγει, τουτέστιν ἐν τῷ τῆς ὀργῆς κόσμῳ τὴν σάρκωσιν τοῦ Κυρίου, εἰς τὸ μηκέτι ἐκ τῶν τῆς κακίας ὑδάτων κατακλυσθῆναι τὸ ἀνθρώπινον γένος, τόξον δὲ διὰ τοῦτο, ἵνα γινώσκωμεν ὅτι ἡ πρὸς ἡμᾶς τοῦ Κυρίου καταλλαγὴ πόλεμός ἐστιν τῶν ἡμετέρων ἐχθρῶν καὶ πολεμίων, ἢ καὶ ὁ τοῦ Κυρίου πρὸς τὸν ἐχθρὸν πόλεμος ἡμῖν γέγονεν καταλλαγή.

ΕΡΩΤΗΣΙΣ 23

Τίνος ἕνεκεν ἀπαγορεύει ὁ νόμος ἐσθίειν πᾶν αἷμα θηρίων καὶ τῶν λοιπῶν;

ΑΠΟΚΡΙΣΙΣ

Θηρία οὐ μόνον τὰ ἀτίθασα λέγει, ἀλλὰ καὶ τὰ ἥμερα τὰ (≡14A_**044**≡> παρὰ τῷ νόμῳ ἀκάθαρτα, οἷον, ὄνον καὶ χοῖρον καὶ τὰ τοιαῦτα· εἰσὶν δὲ ταῦτα πάθη κακίας σφοδρότερα καὶ ἀνήμερα. Οὐ χρὴ οὖν πρὸς σύστασιν τῆς ἡμῶν κακίας τούτοις κεχρῆσθαι. Ἐπειδὴ δὲ τὸ αἷμα λαμβάνεται εἰς τὴν σύστασιν τῆς ζωῆς, πολλάκις δὲ καὶ εἰς τὸν θυμὸν διὰ τὸν φόνον, ὑποβάλλει νοεῖν ὅτι δεῖ τὴν πᾶσαν ἡμῶν ζωὴν ἔμπροσθεν τοῦ Θεοῦ τιθέναι καὶ μὴ ἑαυτοῖς ζῆν ἀλλὰ τῷ Θεῷ, καθά φησιν ὁ νόμος ὅτι "ἐκχέεις τὸ αἷμα ἔμπροσθεν τοῦ θυσιαστηρίου", ἢ καὶ τὸ θυμικὸν μὴ πρὸς ἰδίαν ἄμυναν ἢ πρὸς ἴδιον πάθος ἔχειν ὑπουργοῦντα ἀλλ᾽ ἢ μόνον πρὸς τὸ ἀνδρείως καὶ εὐτόνως τοῦ Θεοῦ καὶ τῶν θείων ἀντέχεσθαι.

ΕΡΩΤΗΣΙΣ 24

Τί ἐστιν κατὰ τὸν νόμον ὁ ταῦρος ὁ κερατιστὴς καὶ δια τί ἄλογον ὢν φονεύεται;

ΑΠΟΚΡΙΣΙΣ

Ταῦρος κερατιστής ἐστιν ὁ παρὰ λόγον ζῆλον ὡς δῆθεν κατὰ Θεὸν κεκτημένος καὶ τούτῳ κεχρημένος πρὸς ἑτέρων ἄμυναν. Χρὴ οὖν τὸ τοιοῦτον πάθος ἀποκτέννειν, ἵνα μὴ πολλοὺς πλῆξαν φονεύσῃ καὶ συνκινδυνεῦσαι παρασκευάσῃ τὸν ἴδιον δεσπότην, τουτέστιν τὴν ψυχήν.

ΕΡΩΤΗΣΙΣ 25

Τίς ὁ τοῦ Ἰωσὴφ ποικίλος χιτὼν καὶ τί σημαίνει ἡ κατὰ τὸ ἐνύπνιον ἔκβασις τῆς τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν προσκυνήσεως;

(≡14A_046≡> **ΑΠΟΚΡΙΣΙΣ**

Πᾶς Ἰσραήλ, τουτέστιν 'νοῦς ὁρῶν Θεόν,' ποιεῖ τῷ ἰδίῳ υἱῷ τῷ Ἰωσήφ, τουτέστιν τῷ κατὰ Θεὸν γεννωμένῳ, χιτῶνα ποικίλον, τουτέστιν τὸν ἠθικὸν τρόπον ἐνδέει μετὰ τῆς ποικίλης τῶν ἀρετῶν διαφορᾶς. Τῷ τοιούτῳ οὖν— Ἰωσὴφ ἑρμηνεύεται δὲ 'πρόσθεσις'— προσκυνοῦσιν ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοί· παντὶ γὰρ προστιθέντι καὶ αὔξοντι τὰ τῆς ἀρετῆς καὶ γνώσεως μέτρα προσκυνοῦσιν ὁ φυσικὸς νόμος καὶ ἡ τιθηνοῦσα αἴσθησις, ὑποκύπτοντες μετὰ τῶν κατ᾽ αὐτοὺς λόγων φυσικῶν καὶ αἰσθητικῶν. Ἀλλ᾽ ἐπειδὴ καὶ εἰς τὸν Κύριον λαμβάνεται ὁ Ἰωσήφ, ποιεῖν εἰκότως λέγεται ὁ Θεὸς καὶ πατὴρ τῷ ἰδίῳ καὶ κατὰ φύσιν Υἱῷ χιτῶνα ποικίλον, ὅπερ δι᾽ ἡμᾶς ἐξ ἡμῶν ἀνέλαβεν σῶμα ταῖς θείαις ἀρεταῖς πεποικιλμένον, κατὰ τὸ ἐν ψαλμοῖς εἰρημένον "σῶμα δὲ κατηρτίσω μοι", ὅπερ οἱ κατὰ σάρκα ἀδελφοὶ Ἰουδαῖοι ἐκδύσαντες τῷ αἵματι τοῦ πάθους ἐμόλυναν. Προσεκύνησαν δὲ αὐτῷ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ οἱ δώδεκα ἀδελφοί, τουτέστιν ὁ νόμος καὶ λατρεία καὶ οἱ ἐκ τῶν δώδεκα φυλῶν πιστεύσαντες.

ΕΡΩΤΗΣΙΣ 26

Τί σημαίνει ὁ στῦλος τῆς νεφέλης ὁδηγῶν τὴν ἡμέραν καὶ ὁ στῦλος τοῦ πυρὸς φωτίζων τὴν νύκτα;

ΑΠΟΚΡΙΣΙΣ

Δι᾽ ἀμφοτέρων ὁ τοῦ Θεοῦ Λόγος σημαίνεται· τοῖς μὲν γὰρ διὰ τῆς πράξεως ὁδεύουσιν ἀναψύχων ἐκ τοῦ καύσωνος τῶν πειρασμῶν γίνεται στῦλος νεφέλης, τοῖς δὲ διὰ τῆς γνώσεως ὁδεύουσιν φωτίζων καὶ τὴν ἀχλὺν τῆς ἀγνωσίας ἀνακαθαίρων γίνεται στῦλος πυρός.

(≡14A_048≡> **ΕΡΩΤΗΣΙΣ 27**

Τί σημαίνει τὸ μάννα καὶ τί τὸ ἐπόζειν τοῖς μὴ αὐτάρκως ἐκλέγουσιν;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ μάννα σημαίνει τὸν τοῦ Θεοῦ Λόγον τὸν πᾶσιν διὰ πράξεως καὶ γνώσεως προσφυῶς ἁρμοζόμενον καὶ τὴν ψυχὴν τρέφοντα. Ὅτ᾽ ἂν οὖν τις δεόντως καὶ κατὰ λόγον τούτῳ κέχρηται, τουτέστιν τὴν μεσότητα τῶν ἀρετῶν μετέρχεται, φεύγων ἐφίσης τὰς τούτων ὑπερβολὰς καὶ ἐλλείψεις, οὗτος τὸ μάννα αὐτάρκως συλλέγει. Ὅτ᾽ ἂν δὲ μὴ δεόντως ἀλλὰ καθ᾽ ὑπερβολὴν τῷ λόγῳ χρήσεται, οἷον— καλὸν γὰρ ἀπὸ μιᾶς ἀρετῆς σημᾶναι τὸ λεγόμενον—ὅτ᾽ ἄν τις σωφροσύνην μετερχόμενος φύγῃ μὲν τὸ ἀκόλαστον, βδελυκτὸν δὲ τὸν γάμον κρινεῖ, ἤδη ἐπώζεσεν αὐτῷ ὁ λόγος τῆς σωφροσύνης τῇ τῆς ὑπερβολῆς ἀμετρίᾳ, καὶ οὐ μόνον ἐπώζεσεν, ἀλλὰ καὶ σκώληκας ἐξῆρψεν, τουτέστιν πάθη ἕτερα γεννήσας.

ΕΡΩΤΗΣΙΣ 28

Τίς ὁ λόγος τῆς πλησσομένης καὶ ἀποβαλλούσης γυναικὸς καὶ ὅτι «ἐὰν ἐξέλθῃ τὸ παιδίον ἐξεικονισμένον, ψυχὴν ἀντὶ ψυχῆς» δοῦναι τὸν πλήξαντα ὁ νόμος διαγορεύει, εἰ δὲ ἀμόρφωτον ἐκπέσοι, ζημιοῖ μόνον;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὸ γράμμα οὕτως νοοῦμεν· ἐπειδὴ ὁ φόνος τοῦ σώματός ἐστιν—ψυχὴ γὰρ οὐδέποτε φονεύεται ἀθάνατος οὖσα—διὰ τοῦτο τὸ μὴ ἐξεικονισμένον εἰς ἀνθρωπείαν μορφὴν οὐκ ἐπάγει τὸν κίνδυνον ἢ μόνον ὀλίγην ζημίαν· εἰ δὲ ἀπήρτισται ἡ ἀνθρωπεία εἰκών, φόνον εἰκότως τετελειωμένου ἀνθρώπου ὁ (≡14A_050≡> τοιοῦτος εἰσπράττεται. Κατὰ δὲ τὴν πνευματικὴν θεωρίαν τοῦτο ὑπολαμβάνομεν, ὅτι ὁ ψυχὴν ἐγκυμονήσασαν τὸν θεῖον λόγον καὶ μορφώσασαν διὰ τῆς ἕξεως τὸ σπέρμα τῆς ἀρετῆς

σκανδαλίσας καὶ ποιήσας ἀποβάλλειν τὸ τοιοῦτον τῆς διδασκαλίας μόρφωμα, ἔνοχός ἐστιν τοῦ θανάτου· ὁ δὲ σκανδαλίζων ψυχὴν τὸν σπόρον μὲν τοῦ λόγου δεξαμένην, μὴ μορφώσασαν δὲ τοῦτον δι᾽ ἕξεως καὶ ἐνεργείας, ἐπιτιμίου ἄξιος.

ΕΡΩΤΗΣΙΣ 29

Τί σημαίνουσιν αἱ «ἓξ πόλεις τῶν φυγαδευτηρίων» καὶ διατί αἱ μὲν τρεῖς ἐδόθησαν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, αἱ δὲ ἄλλαι τρεῖς ἔξω;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ἡ φυλὴ τοῦ Γὰδ διὰ τὸ πολλὰ κεκτῆσθαι κτήνη ἔξω τῆς γῆς τῆς ἐπαγγελίας ἔλαβεν τὰς πόλεις, ἐκ τούτων ἀφιέρωσεν ὁ νόμος τρεῖς εἰς τὸ καταφεύγειν τὸν ἀκουσίως φονεύοντα, τὰς δὲ ἄλλας τρεῖς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Τοῦτο οὖν σημαίνεται κατὰ τὸν τῆς ἀναγωγῆς τρόπον· ἐπειδὴ τρεῖς τρόποι εἰσὶν καθ᾽ οὓς ἀδιαθέτως ἁμαρτάνομεν, κατὰ τὴν πρᾶξιν τῆς τυραννίδος, ἐξ ἀπάτης καὶ ἐξ ἀγνοίας, δεῖ τὸν ἐν τούτοις ἐνεχόμενον, πρὶν τὸ παρεπόμενον πάθος καταδιῶξαν φονεύσῃ τὸν τοιοῦτον, ἐνδιαθέτως ποιοῦν ἁμαρτάνειν αὐτόν, φεύγειν, τὸν μὲν ἐκ τυραννίδος ἁμαρτάνοντα εἰς τὴν πόλιν τῆς ἐγκρατείας, τὸν δὲ ἐξ ἀπάτης εἰς τὴν πόλιν τῆς πείρας καὶ τῆς καλῆς πανουργίας, τὸν δὲ ἐξ ἀγνοίας εἰς τὴν πόλιν τῆς μαθήσεως. Ταῦτα δὲ ἀπενεμήθησαν τοῖς πρακτικοῖς διὰ τὸ εὔφορον καὶ πρὸς νομὴν (≡14A_052≡> κτηνῶν ἐπιτήδειον· ἡ γὰρ πρακτικὴ καὶ ταῖς ἀρεταῖς ἐστιν εὔφορος καὶ τῶν κτηνωδεστέρων ποιμαντική.

Αἱ δὲ ἔσω πόλεις ἀπενεμήθησαν τοῖς γνωστικοῖς· ἐπειδὴ γὰρ ἐν τρισὶν καταγίνεται ὁ γνωστικός, ἔν τε ἠθικῇ, φυσικῇ καὶ θεολογικῇ γνώσει, δεῖ τὸν ἀκουσίως φόνον ἐργαζόμενον, τουτέστιν ἀπείρως ἐπιβάλλοντα, ἐν μὲν τῇ ἠθικῇ διδασκαλίᾳ θυμὸν καὶ ἐπιθυμίαν παρὰ λόγον κινοῦντα εἰς τὴν πόλιν τῆς πραότητος καταφεύγειν—τέλος γὰρ ἠθικῆς φιλοσοφίας ἡ πραότης ἐστίν—, τὸν δὲ εἰς τὴν φυσικὴν θεωρίαν σφαλλόμενον καὶ ἀνεπιστημόνως ἐπιβάλλοντα, εἰς τὴν πόλιν τῆς ἐπιστήμης καταφεύγειν· τὸν δὲ εἰς τὴν θεολογίαν σφαλλόμενον δεῖ καταφεύγειν εἰς τὴν πόλιν τῆς πίστεως, μήπως τὸ παρεπόμενον τῆς ἀγνοίας πάθος καταλαβεῖν ἐξισχύσει καὶ ἀπολέσῃ τὸν μέτοχον αὐτοῦ.

Τί δέ ἐστιν τὸ «ἕως οὗ ὁ μέγας ἱερεὺς ἀποθάνῃ», μένειν δεῖ τὸν τοιοῦτον καὶ τότε εἰς τὴν ἔγκτητον αὐτοῦ γῆν ἐπανέρχεσθαι, ἀκόλουθον θεωρῆσαι. «Ἱερεὺς μέγας» ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός· ὅτ᾽ ἂν οὖν εἰς τελείαν ἀπάθειαν ἔλθωμεν καὶ μηκέτι προσάγωμεν αὐτῷ τι τῶν τοῦ κόσμου τούτου, εἴτε λόγους εἴτε νοήματα, καὶ ἁπλῶς ὅτ᾽ ἂν ὑπὲρ αἴσθησιν καὶ ἔννοιαν γενώμεθα καὶ «μηκέτι Χριστὸν κατὰ σάρκα γινώσκομεν», τότε ἀπέθανεν ἡμῖν ὁ μέγας ἱερεύς, μηκέτι παρ᾽ ἡμῶν ἔκ τινος τῶν γεγονότων λατρείαν δεχόμενος· καὶ λοιπὸν εἰς τὴν ἔγκτητον ἡμῶν γῆν ἀποκαθιστάμεθα, τουτέστιν τὴν ἐν αὐτῷ τῷ Θεῷ, ἐν ᾧ οἱ τῶν ἀρετῶν λόγοι εἰσίν.

ΕΡΩΤΗΣΙΣ 30

Τίνες αἱ ῥάβδοι ἃς ὁ Ἰακὼβ λεπίσας ἔθηκεν εἰς τὰ ποτιστήρια (≡14A_054≡> καὶ τίς ἡ Ῥαχὴλ ἡ τὰ εἴδωλα κλέψασα καὶ τίς ἡ τερέβινθος ἐν ᾗ ταῦτα ὁ Ἰακὼβ κατέκρυψεν;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς Ἰακώβ, τουτέστιν 'πτερνιστής,' λεπίζει τὰς ῥάβδους, τουτέστιν τοὺς λόγους τῶν ὄντων καθαροὺς ποιῶν τῶν ἐπικειμένων αὐτοῖς ὑλικῶν σχημάτων τίθησιν ἐν τοῖς ποτιστηρίοις, τουτέστιν ἐν τῇ ἕξει τῆς γνώσεως, ἵνα οἱ δίκην προβάτων μαθητευόμενοι τῇ μαθήσει ἐν αὐτῇ ἐνκισσῶντες ἀποτυπῶνται πρὸς τὴν αὐτῆς μίμησιν. Πᾶσα οὖν ψυχὴ μαθητευθεῖσα οὕτως κλέπτει τὰ εἴδωλα τοῦ ἰδίου πατρὸς τοῦ κακῶς αὐτὴν πρότερον τῇ κακίᾳ γεννήσαντος. Εἰσὶν δὲ τὰ εἴδωλα μὴ ἐνόντα φυσικῶς τοῖς ὁρωμένοις, ἀλλ᾽ «ἐκ τοῦ κακοῦ πατρὸς τοῦ διαβόλου» εἰδωλοποιούμενα πρὸς ἀπάτην σχήματα· ἅπερ κλέπτει καλῶς ὁ κατὰ τὸν Ἀπόστολον πάντα αἰχμαλωτίζων εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. Κρύπτει δὲ ταῦτα ἐν τοῖς σάγμασιν τῶν καμήλων· κάμηλον ἐνταῦθα τὸ σῶμα λάβε διὰ τὸ σκολιὸν καὶ ὅτι διόλου τὰ ἴχνη τῶν ποδῶν τῇ γῇ ἐντυποῦσα ἡ κάμηλος τὸ ἐκ τῆς παραβάσεως γενόμενον σκολιὸν καὶ ἐμπαθὲς ἡμῶν δηλοῖ σῶμα· σάγματα δέ εἰσιν οἱ διάφοροι τῆς ἀσκήσεως τρόποι, οἷς ἐπικαθημένη ἡ ψυχὴ διαφεύγει τὸν ἐρευνῶντα τῆς κακίας πατέρα καὶ ζητοῦντα τὰ πρὸς ἐξαπάτην ἐπινοηθέντα αὐτῷ εἴδωλα, ἅπερ διὰ τῆς ὑψηλῆς περὶ αὐτῶν ἀναγωγῆς καὶ θεωρίας καλῶς ἐξ αὐτοῦ ἀποσπάσασα κατέκρυψεν ἐν τοῖς πιέζουσιν τὸ σῶμα ἡμῶν τῆς ἐγκρατείας σάγμασιν. Ὅτ᾽ ἂν δὲ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἔλθῃ, τουτέστιν εἰς τὴν τελείαν γνῶσιν, τότε κελεύεται καὶ ταῦτα περιελέσθαι, τουτέστιν τὰ κλαπέντα καλῶς πρὸς ἡμετέραν ἀναγωγήν, εἴτε ἠθικωτέρους τρόπους ὥσπερ ἱμάτιον εἴτε τοὺς φυσικοὺς λόγους ἐξ αὐτῶν ἐνωτιζομένους ὥσπερ ἐνώτια. Ταῦτα γὰρ ὁ διορατικὸς νοῦς λαβὼν ἐν τῇ τερεβίνθῳ κατέκρυψεν, τουτέστιν ἐν τῷ μυστηρίῳ τοῦ σταυροῦ· πᾶσα γὰρ (≡14A_056≡> πρᾶξις καὶ γνῶσις ἐν αὐτῷ ἐνκέκρυπται. Τερεβίνθῳ δὲ ὁ σταυρὸς παρεικάζεται ἐπειδὴ ἐν μὲν τῷ χειμῶνι ἀτερπές ἐστιν πάνυ τὸ δένδρον, ἐν δὲ τῷ ἔαρι εὐωδέστατον πάνυ καὶ τερπνότατον· οὕτως καὶ ὁ σταυρὸς τοῦ Κυρίου ἐν μὲν τῷ παρόντι βίῳ ἐξουδενώσεως δοκεῖ ἔχειν εἶδος, ἐν δὲ τῷ μέλλοντι πολλῆς εὐωδίας καὶ δόξης ἐκπέμπει εὐπρέπειαν.

ΕΡΩΤΗΣΙΣ 31

Τί σημαίνει ἡ κατὰ τὸν Ἰούδαν καὶ τὴν Θάμαρ ἱστορία;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐκ φύλης Ἰούδα τὸ «κατὰ σάρκα» γενόμενος καὶ ἐν τῇ ὁδῷ τοῦ βίου ἐλθὼν τῇ πρὸς «τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ», ηὗρεν ἐν τῇ ὁδῷ τῆς πλάνης τὴν ἐκπορνεύσασαν «ὀπίσω θεῶν ἑτέρων» τῶν ἐθνῶν Ἐκκλησίαν καὶ συναφθεὶς παρέσχετο αὐτῇ ῥάβδον καὶ ὁρμίσκον καὶ δακτύλιον, τουτέστιν τὴν διὰ σταυροῦ νέκρωσιν καὶ τὴν περὶ τῶν ὄντων εὐσεβῆ δόξαν καὶ τὴν τοῦ Πνεύματος χάριν, καὶ ἁπλῶς εἰπεῖν πρακτικήν, φυσικὴν καὶ θεολογικὴν γνῶσιν.

ΕΡΩΤΗΣΙΣ 32

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας περὶ τοῦ Ναβουθὲ καὶ τοῦ Ἀχαάβ.

ΑΠΟΚΡΙΣΙΣ

Εἰς Χριστὸν ἀναφέρεται τὰ κατὰ τὸν Ναβουθέ· ἀμπελὼν δὲ ὁ Ἰσραὴλ κατὰ τὸν Ἡσαΐαν· ὁ δὲ Ἀχαὰβ εἰς τύπον τῶν τοῦ Ἰσραὴλ ἡγουμένων, οἵτινες ἤθελον ἔχειν αὐτὸν εἰς κῆπον λαχάνων, ποτίζοντες αὐτὸν ἀνατροπὴν θολεράν· τὸν δὲ Χριστὸν (≡14A_058≡> πρόσωπον ἐπέχοντα τοῦ Ναβουθὲ μὴ θελῆσαι αὐτὸν δοῦναι ὡς πατρῴαν κληρονομίαν· ὅθεν τὴν νοητὴν Ἰεζάβελ, τουτέστιν τὴν συναγωγήν, συκοφαντούμενον ἀναιρεῖν αὐτόν.

ΕΡΩΤΗΣΙΣ 33

Εἰς πρόσωπον τίνος λαμβάνεται ὁ Ἰεφθάε καὶ ἡ τούτου θυγάτηρ;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν Ἰεφθάε εἰς τὸ πρόσωπον τοῦ Κυρίου, ἡ δὲ τούτου θυγάτηρ εἰς τὴν αὐτοῦ παντάχραντον σάρκα. Ὥσπερ γὰρ ὁ Ἰεφθάε ἐκ πόρνης ἦν γεγεννημένος καὶ ἀπὸ τῶν ἰδίων ἐξεδιώχθη καὶ ἐξελθὼν ἐπολέμησεν καὶ ἐνίκησεν τοὺς ὑπεναντίους, ὑποσχόμενος τῷ Θεῷ τὸν ὑπαντῶντα αὐτῷ ἐκ τῶν οἰκείων αὐτοῦ προσάγειν εἰς θυσίαν, οὕτως καὶ ὁ Κύριος ἐκ τῆς ἐκπορνευσάσης ἡμῶν φύσεως τὸ κατὰ σάρκα ἀναμαρτήτως προελθὼν καὶ τῆς οἰκείας σαρκὸς γενόμενος σπορεύς, ἐκδιωχθείς τε ὑπὸ τῶν δοκούντων ἰδίων εἶναι Ἰουδαίων καὶ τὸν ὑπὲρ ἡμῶν πόλεμον νικήσας, προσήγαγεν τὴν οἰκείαν αὐτοῦ σάρκα τῷ Θεῷ καὶ Πατρί· Ἰεφθάε γὰρ ἑρμηνεύεται ‘ἄνοιξις Θεοῦ.’

ΕΡΩΤΗΣΙΣ 34

Τί δηλοῖ τὸ τῶν Παροιμιῶν τὸ «ἐν ὀκνηρίαις ταπεινωθήσεται δόκωσις καὶ ἐν ἀργίᾳ χειρῶν στάξει οἰκία»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ δόκωσις λαμβάνεται εἰς τὰς φυσικὰς τῆς ψυχῆς δυνάμεις· ὥσπερ γὰρ αἱ δοκοὶ ἀμελούμεναι καὶ διὰ τοῦ ἐπικειμένου βάρους καμπτόμεναι καταπίπτουσιν, οὕτως καὶ αἱ φυσικαὶ τῆς (≡14A_060≡> ψυχῆς δυνάμεις, μὴ ἐπιμελούμεναι διὰ τῆς μελέτης τῶν θείων λογίων, τῷ βάρει τῶν ἑκουσίων καὶ ἀκουσίων πειρασμῶν καμπτόμεναι πρὸς τὰ αἰσθητὰ καταπίπτουσιν. Ἐν ἀργίᾳ δὲ χειρῶν στάζει οἰκία ὅτ᾽ ἂν ἡ ψυχὴ ἀπραξίαν ἀγαθῶν ἔχουσα, διὰ τῶν αἰσθήσεων τὰς τῶν ὑλικῶν φαντασίας σταλαγμῶν δίκην εἰσδεχομένη τὴν ἐνοικοῦσαν χάριν ἀποδιώκει.

ΕΡΩΤΗΣΙΣ 35

Τί δηλοῖ ὁ ἐν Κανᾷ γάμος καὶ τί τὰ ἐν αὐτῷ τελεσθέντα μυστήρια;

ΑΠΟΚΡΙΣΙΣ

Κανὰ ἑρμηνεύεται ‘κτῆσις,’ Γαλιλαία δὲ ‘ἀποκάλυψις·’ πᾶς οὖν νοῦς ἕξιν ἀποκαλυπτικὴν ἔχων τῶν θείων, ἐν τῷ συνάπτεσθαι τῇ ἀρετῇ ἢ καὶ τῇ αἰσθήσει δέεται τῆς τοῦ λόγου μεσιτείας ἵνα ἡ μὲν ἀρετὴ τῇ γνώσει συναφθεῖσα τοῦ νοῦ, σύμφωνος γένηται πρὸς αὐτόν, ἡ δὲ αἴσθησις ὑποκύπτουσα ὑπὸ τὴν ἐξουσίαν τοῦ νοῦ γένηται, τοῦ φυσικῶς αὐτὴν τάττοντος. Ἐπειδὴ δὲ ἡ γνωστικὴ ἕξις διὰ τῆς καθ᾽ ἡδονὴν διαχύσεως ἐκ τῆς γενομένης παρακοῆς ὑδαρώθη, ἦλθεν ὁ Λόγος ἐπανάγων εἰς γῆν τὴν ἐξαρχῆς στερρότητα. Ἡ δὲ αἰτοῦσα μήτηρ ἐστὶν ἡ πίστις ἢ καὶ ἡ ταπείνωσις

ἢ καὶ ἡ ἐπιστημονικὴ σοφία· ἑκάστη γὰρ τούτων τίκτειν πέφυκεν τὴν ἐν ἀνθρώποις ἄκραν θεοειδῆ ἕξιν.

Τὸ δὲ «οὔπω ἥκει ἡ ὥρα μου» δηλοῖ, ἐπειδὴ προηγεῖται ἡ διδασκαλία τῶν σημείων—διὰ γὰρ τοὺς ἀπιστοῦντας τῇ διδασκαλίᾳ ἡ τῶν σημείων ἐπίδειξις γίνεται—οὔπω δὲ ἦν ἐκεῖ διδάξας καὶ πεῖραν λαβὼν αὐτῶν ἀπιστίας, διὰ τοῦτο εἶπεν· «οὔπω ἥκει ἡ ὥρα μου».

Οἱ δὲ ὑπηρέται δηλοῦσιν τοὺς προφήτας, οἵτινες τὴν φύσιν (≡14A_062≡> διὰ τῆς παραβάσεως κενωθεῖσαν διὰ τῆς αὐτῶν διδασκαλίας *** ὁ δὲ Κύριος ἐλθὼν μετέβαλεν εἰς πνευματικὴν γνῶσιν καὶ τὴν φύσιν εἰς τὸ ὑπὲρ φύσιν ἀνήγαγεν διὰ τῆς πίστεως. Αὐτὴ γὰρ ἐπέχει τῆς Θεοτόκου τὸ πρόσωπον· καθάπερ γὰρ ἡ Θεοτόκος, κατὰ τὴν δημιουργίαν ἐκ τοῦ Κυρίου καὶ Υἱοῦ αὐτῆς ὑπάρχουσα, κατὰ σάρκα αὐτὴ αὐτὸν ἀπεκύησεν, οὕτως καὶ ἡ πίστις ἐκ τοῦ λόγου ὑπάρχουσα διὰ τῆς ἐνεργείας τῆς πράξεως τὸν λόγον εἰς ἐνέργειαν ἄγει.

Αἱ δὲ ὑδρίαι ἐπειδὴ ἕξ εἰσιν δηλοῦσιν τὴν ποιητικὴν τῶν ἀγαθῶν ἕξιν διὰ τὸ καὶ τὸν Κύριον ἐν ἓξ ἡμέραις τὸν ὁρατὸν δημιουργῆσαι κόσμον. Ὁ δὲ ἀρχιτρίκλινος ὁ διακριτικός ἐστιν νόμος· διὰ τοῦτό φησιν· «πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον προτίθησιν καὶ τότε τὸν ἐλάσσω»· ὁ γὰρ ἀκραιφνὴς καὶ διακριτικὸς νόμος διακρίνων «ἔδει», φησίν, «τὸν νοῦν πρῶτον τῇ ἐπιγνώσει εἰς τὸν αἴτιον ἀναδραμεῖν καὶ εἶθ᾽ οὕτως εἰς τὰ μετ᾽ αὐτόν, ὅπερ ὁ Ἀδὰμ οὐκ ἐποίησεν» ἢ καὶ ὅτι «τὴν τοῦ Κυρίου διδασκαλίαν ἔδει πρώτην ποθῆναι τοῦ νόμου καὶ τῶν προφητῶν».

ΕΡΩΤΗΣΙΣ 36

Πῶς νοήσωμεν τὸ τοῦ Εὐαγγελίου ὅτι «μείζων Ἰωάννου ἐν γεννητοῖς οὐκ ἐγήγερται, ὁ δὲ μικρότερος αὐτοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν»;

ΑΠΟΚΡΙΣΙΣ

Ὅστις ὑπὲρ τὸν Ἰωάννην ταπεινώσει ἑαυτόν—τοῦτο γάρ ἐστιν τὸ «μικρότερος»—ἐκεῖνος μείζων ἐστὶν τοῦ Ἰωάννου. Ἢ καὶ ἄλλως· ἐπειδὴ ὁ Ἰωάννης τὴν ἐνταῦθα ἐφικτὴν διὰ θεωρίας γνῶσιν κατειληφέναι πιστεύεται, ἡ μικρὰ καὶ τελευταία κατὰ (≡14A_064≡> τὴν μέλλουσαν φανήσεσθαι κατάστασιν γνῶσις μείζων ὑπάρχει τῆς ἐνταῦθα. Ἢ καὶ ὅτι ὁ ἐν ἀνθρώποις ἄκρος θεολόγος τοῦ ἐν ἀγγέλοις ἐσχάτου ἐστὶν μικρότερος. Ἢ καὶ ὁ κατὰ τὴν εὐαγγελικὴν πολιτείαν τὴν ἐσχάτην ἔχων τάξιν τοῦ κατὰ τὴν νομικὴν δικαιοσύνην ἄκρου μείζων ἐστίν.

ΕΡΩΤΗΣΙΣ 37

Τί ἄρα δηλοῦσιν τὰ παρὰ τῷ νόμῳ ἀκάθαρτα ὄρνεά τε καὶ χερσαῖα καὶ ἔνυδρα τῷ καθολικῷ λόγῳ;

ΑΠΟΚΡΙΣΙΣ

Τὰ μὲν ὄρνεα δηλοῦν ὑπειλήφαμεν τὸ καθόλου τῆς κενοδοξίας καὶ ὑπερηφανίας πάθος εἰς διαφόρους τρόπους διαιρούμενον κατὰ τὰς τῶν ὀρνέων διαφοράς. Τὰ δὲ καθόλου χερσαῖα ζῷα δηλοῦσιν τὸ πάθος τῆς φιλαργυρίας εἰς διαφορὰς σχιζόμενον κατὰ τὴν ἑκάστου ἤθους τῶν ζῴων διαφοράν. Τὰ δὲ καθόλου ἔνυδρα δηλοῦσιν τὸ τῆς γαστριμαργίας πάθος διὰ τὸ

γλίσχρον καὶ δυσκίνητον καὶ τῇ γῇ ἐνκυλινδεῖσθαι καὶ φλέγμα εἶναι τοὺς παρὰ τῷ νόμῳ ἀκαθάρτους ἰχθύας· τὰ δὲ ἔχοντα πτερύγια καὶ λεπίδας καθαρὰ ὁ νόμος ὁρίζεται, σημαίνων διὰ μὲν τοῦ ἔχοντος ἐν τῇ κοιλίᾳ πτερύγια τὸν ἐπὶ τῇ ἡδονῇ ἔχοντα ἐπηρτημένον ὑψηλὸν λόγον μὴ συγχωροῦντα ἐπὶ τῇ κοιλίᾳ πορεύεσθαι, διὰ δὲ τοῦ ἐπάνω τοῦ νώτου ἔχοντος πτερύγια τὸν τῇ ὑπομονῇ τῶν ἐπερχομένων ἀνδρικῶς διανηχόμενον τοῦ βίου τὴν θάλασσαν, διὰ δὲ τοῦ ἔχοντος ἐν τῇ οὐρᾷ πτερύγια τὸν εὐμηχάνως τὰς λαβὰς τῶν θηρευτῶν δαιμόνων διαδιδράσκοντα, διὰ δὲ τοῦ ἔχοντος ἐν τῇ κεφαλῇ ἔνθεν καὶ ἔνθεν πτερύγια τὸν ἔχοντα τὸ θεωρητικὸν πάντοθεν τὸν νοῦν κατασφαλίζοντα.

(≡14A_066≡> **ΕΡΩΤΗΣΙΣ 38**

Τίνος χάριν πρὶν γεννηθῆναι τὸν Ἠσαῦ ἡ Γραφὴ λέγει μεμισῆσθαι αὐτὸν ἐκ τοῦ Θεοῦ, τὸν δὲ Ἰακὼβ ἠγαπῆσθαι;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὸ γράμμα δῆλον ὡς ἐγίνωσκεν ὁ Θεὸς ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν ὁποῖοι ἤμελλον ἔσεσθαι κατὰ προαίρεσιν ἑκάτεροι καὶ ὡς γινώσκων τὸν μὲν ἤδη ἐμίσει, τὸν δὲ ἠγάπα. Εἰ δὲ κατ᾽ ἀναγωγὴν ἐξετάζει τις τὸ προκείμενον, μεμίσηται παρὰ τῷ Θεῷ πᾶς νοῦς κατὰ τὸν Ἠσαῦ δασὺς τῇ ὕλῃ τῇ κοσμικῇ καὶ τετραχυμμένος τοῖς ἀπηγορευμένοις λογισμοῖς· ἠγάπηται δὲ πᾶς Ἰακώβ, νοῦς λεῖος, ἀπέριττος καὶ ἄϋλος καὶ μονότροπος. Καὶ ἄλλως δὲ πᾶς Ἰσαὰκ ἔχει δύο υἱούς, οἵτινες πρὶν γεννηθῶσιν ὁ μὲν μεμίσηται, ὁ δὲ ἠγάπηται· εἰσὶν δὲ οὗτοι «ὁ νόμος τοῦ πνεύματος» καὶ «τὸ φρόνημα τῆς σαρκός»· οἵτινες καὶ πρὶν εἰς ἐνέργειαν ἔλθωσιν ὁ μὲν ἠγάπηται, ὁ δὲ μεμίσηται.

Καὶ ἄλλως ὁ Ἰσαὰκ εἰς τύπον λαμβάνεται τοῦ Θεοῦ· οὗτος ἔσχεν δύο υἱούς, τὸν γραπτὸν καὶ τὸν πνευματικὸν νόμον· καὶ ὁ μὲν δασὺς ἦν καὶ τραχύς, ὁ δὲ λεῖος. Εἶχεν γὰρ ὁ νόμος πολλὰς καὶ ἀναριθμήτους παρατηρήσεις καὶ ἐμισήθη κατὰ τὸν Ἠσαΐαν ὅτι «τὰς ἑορτὰς ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου»· ὁ δὲ ἕτερος ἠγαπᾶτο· ἦν γὰρ λεῖος· τὸ γὰρ Εὐαγγέλιον λεῖόν ἐστιν καὶ συντετμημένον· ἀπαιτεῖ γὰρ πίστιν εἰλικρινῆ εἰς Θεὸν καὶ ἀγαθὴν συνείδησιν εἰς τὸν πλησίον.

[Περὶ τοῦ αὐτοῦ ἄλλως] Ἢ καὶ κατὰ τῶν ὀνομάτων ἑρμηνείαν μεμίσηται παρὰ τῷ Θεῷ πᾶς ‘ἐξουδενωτὴς’ καὶ φαῦλος (≡14A_068≡> τῆς εὐσεβείας· τοῦτο γὰρ Ἠσαῦ ἑρμηνεύεται· ἠγάπηται δὲ πᾶς ‘πτερνιστὴς’ τῆς κακίας, ὅπερ ὁ Ἰακὼβ ἑρμηνεύεται.

ΕΡΩΤΗΣΙΣ 39

Τί δήποτε ὁ μὲν Ἀβραὰμ τρεῖς ἀγγέλους εἶδεν, ὁ δὲ Λὼτ δύο;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν Ἀβραὰμ ἅτε τετελειωμένος καὶ ὑπερβὰς τὰ φαινόμενα καὶ τῆς ἁγίας Τριάδος καὶ μονάδος τὴν γνῶσιν ἐλλαμφθείς—διὸ καὶ τὸ ἄλφα εἰς προσθήκην τοῦ ὀνόματος δέχεται ὡς μόνος τῷ μόνῳ κατὰ τὴν γνῶσιν προσχωρήσας —εἰκότως τρεῖς ἀγγέλους ὁρᾷ. Ὁ δὲ Λὼτ μήπω τὰ ὁρώμενα τῇ γνώσει διαβάς, ἀλλ᾽ ἐκ τῶν ὁρωμένων τὸ θεῖον θρησκεύων καὶ μηδὲν πλείω τούτων φανταζόμενος, μὴ δὲ ὑπὲρ τὰ δύο, ὕλην καὶ τὸ εἶδος, γενόμενος, ἐξ ὧν τὰ φαινόμενα, μὴ δὲ τὸν περὶ μονάδος καὶ τριάδος λόγον τῇ γνώσει περιλαβών, διὰ τοῦτο δύο ἀγγέλους ὁρᾷ. Ὅθεν ἐπισπευδόντων αὐτὸν τῶν ἀγγέλων καὶ εἰς τὸ ὄρος σῴζεσθαι κατεπειγόντων, ἀπώκνησεν εἰς τὸ ὄρος ἀνελθεῖν, ἀλλὰ τὴν Σιγὼρ καταλαβεῖν παρεκάλει, εἰς τὴν μικροτέραν γνῶσιν· ‘μικρὰ’ γὰρ ἡ

Σιγὼρ ἑρμηνεύεται. Οἱ δὲ τὸν Λὼτ ἐκβάλλοντες ἄγγελοι λαμβάνονται ἐπὶ τῶν δύο Διαθηκῶν τοῦ τε γραπτοῦ καὶ τοῦ εὐαγγελικοῦ νόμου· διὰ τούτων γὰρ ἐκβάλλεταί τις καὶ φεύγει τὴν περὶ τὰ αἰσθητὰ πλάνην καὶ τὸν ἐκ τούτων διαφεύγει ἐμπρησμόν. Ἔχει δὲ τὴν σύνοικον αἴσθησιν συναναβαίνουσαν· ἐὰν οὖν ταύτῃ στραφῇ εἰς τὰ ὀπίσω, γίνεται στήλη ἁλός, παράδειγμα πᾶσιν ἐκκειμένη, τῆς ἁλμώδους κακίας τὴν ἀμετάθετον ἕξιν φέρουσα.

Εἰ δὲ καὶ οἶνον ἐκ Σοδόμων ἐπιφέρεται, ὅπερ δηλοῖ τῶν (≡14A_070≡> ἀκαθάρτων λογισμῶν τὰς προλήψεις, αἱ δύο θυγατέρες μεθύσκουσιν τὸν τοιοῦτον πρὸς τὸ συλλαβεῖν· ἔστιν μὲν οὖν ἡ πρώτη θυγάτηρ ἡ ἐπιθυμία· ἐπὰν γὰρ τὰς πρώτας τῶν προλήψεων μνήμας ἀνακινήσει ὁ νοῦς, εὐθέως ἡ ἐπιθυμία συγγινομένη συμλαμβάνει τὴν συγκατάθεσιν· εὐθέως οὖν καὶ ἡ δευτέρα προσέρχεται· ἔστιν δὲ ἡ ἡδονή· μεθ᾽ οὗ συγγινομένη συλλαμβάνει τὴν ἐνέργειαν. Διὰ τοῦτο ἐπικατάρατα τὰ τοιαῦτα κυήματα καὶ οὐκ εἰσέρχονται «εἰς Ἐκκλησίαν Κυρίου ἕως τρίτης καὶ τετάρτης καὶ δεκάτης γενεᾶς».

ΕΡΩΤΗΣΙΣ 40

Τί δήποτε πολλῶν ὄντων βαρυτέρων ὕβρεων ὁ Κύριος ἐν Εὐαγγελίοις τὸν λέγοντα τὸν ἀδελφὸν αὐτοῦ «μωρὸν» τῆς γεέννης ὑπεύθυνον ὁρίζεται, τὸν δὲ λέγοντα «ῥακὰ» τῷ συνεδρίῳ ὑποκεῖσθαι λέγει;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ «μωρὸς» ὄνομα λέγουσιν ἐπὶ τοῦ ἄφρονος λαμβάνεσθαι καὶ ἀνοήτου, τὸ δὲ «ῥακὰ» Ἑβραίων φωνῇ ‘κατάπτυστον’ ἑρμηνεύεται. Ἐπεὶ οὖν ἐπὶ τοῦ ἀθέου καὶ ἀπίστου τὸ «μωρὸς» ὄνομα εἴρηται κατὰ τὸ «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· "οὐκ ἔστιν Θεός"», καὶ κατὰ τὸν Μωυσῆν λέγοντα «οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός», ὅστις τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμόπιστον ἄθεον καὶ εἰδωλολάτρην ἢ αἱρετικὸν καὶ ἄπιστον ἀποκαλεῖ, οὗτος λέγει μωρὸν καὶ τῆς γεέννης δικαίως ὑπεύθυνος γίνεται. Ὅστις δὲ λέγει «ῥακά», τουτέστιν 'ἐμπτυσμένε καὶ ἀκάθαρτε', οὗτος τὸν βίον διαβάλλει τοῦ ἀδελφοῦ αὐτοῦ καὶ εἰκότως κουφοτέρου ἐπιτιμίου ὑπόκειται.

(≡14A_072≡> ΕΡΩΤΗΣΙΣ 41

Τί σημαίνει ἡ ἐν τοῖς Κριταῖς ἱστορία ἡ κατὰ τὸν Λευίτην καὶ τὴν παλλακὴν ἣν παραχρησάμενοι ἐφόνευσαν οἱ τῆς φυλῆς Βενιαμίν;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ κατ᾽ ἀρχὰς γενόμενος ἐκ Θεοῦ ἱερὸς νοῦς τὸν φυσικὸν νόμον διὰ τῆς παραβάσεως ἐθανάτωσεν, ἔλαβεν τὴν παλλακήν, τουτέστιν τὴν νομικὴν λατρείαν, μὴ οὖσαν φυσικὴν ἀλλ᾽ ἐπείσακτον· εἶτα ἐπαναστάντων τῶν φυσικῶν κινημάτων οἱονεὶ λύκων ἐφόνευσαν καὶ αὐτήν. Ὁ δὲ ἱερὸς νοῦς ἀγανακτήσας μελίζει ταύτην καὶ ἀποστέλλει εἰς πᾶν ὅριον Ἰσραὴλ εἰς τὰς δώδεκα φυλάς, τουτέστιν τὰς νομικὰς ἐντολὰς διέλει καὶ ἑκάστην ἀπονέμει τῇ ἁρμοζούσῃ τῆς ψυχῆς δυνάμει, ὥστε πάσας συγκινηθῆναι πρὸς ἀναίρεσιν τῶν ἀτακτησάντων λογισμῶν. Εἰσὶν δὲ τρεῖς μὲν αἱ τῆς ψυχῆς δυνάμεις· τὸ λογικόν, τὸ ἐπιθυμητικόν,

τὸ θυμικόν. Δέονται δὲ αὗται τῶν γενικῶν τεσσάρων ἀρετῶν· ἄνευ γὰρ τούτων οὔτε κακίας ἀναίρεσις γίνεται, οὔτε ἀρετῆς κατόρθωσις. Εἶτα πρὸς τὸ καὶ εἰς ἐνέργειαν τὰ καλῶς κριθέντα ἐλθεῖν χρῄζουσιν καὶ τῶν πέντε αἰσθήσεων ἵνα ὁ δωδέκατος εἰς πέρας ἔλθῃ ἀριθμός, ὁ πάντα τὸν Ἰσραὴλ χαρακτηρίζων. Ἢ καὶ χρόνον καὶ φύσιν ὁ δωδέκατος σημαίνει ἀριθμός· ἑβδοματικὸς γὰρ ὁ χρόνος, πενταδικὴ δὲ ἡ φύσις.

Τὸ δὲ ἐν τῷ πολέμῳ πολλοὺς τῶν Ἰσραηλιτῶν πεσεῖν καὶ μετὰ ταῦτα τοὺς ὀλίγους νικῆσαι σημαίνει ὅτι δεῖ τὸν πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενον καθαρεύειν παντὸς πάθους, ἐπεὶ ἕως ὅτε ἢ ὑψηλοφροσύνῃ κεκράτηται ἢ κενοδοξίᾳ ἢ τύφῳ ἢ ἀλαζονείᾳ, ἢ κατακρίνει ἑτέρους ἢ ἄλλῳ οἱῳδήποτε πάθει ἐνέχεται, ἐν τῷ πολεμεῖν δῆθεν πρὸς τὰ πάθη ἀδρανὴς εὑρίσκεται καὶ πίπτει· ἀλλὰ δεῖ πάντων καθαρεύειν καὶ εἶθ᾽ οὕτως παρατάττεσθαι (≡14A_074≡> καὶ οὕτως ὁ Κύριος παρέχει τὴν νίκην. Τὸ δὲ παρακληθῆναι τὸν Ἰσραὴλ ἐπὶ τοῖς ὑπολειφθεῖσιν τοῦ Βενιαμὶν τοῖς καταφυγοῦσιν ἐν τῇ πέτρᾳ Ῥεμμών, δηλοῖ ὅτι τὸν πρὸς τὰ πάθη μαχόμενον οὐ δεῖ συναναιρεῖν τοῖς πάθεσιν τὴν φυσικὴν δύναμιν, ἀλλὰ τὰ μὲν παρὰ φυσικὴν δύναμιν περιποιεῖσθαι· οἷον, ἀγωνίζεταί τις κατὰ τοῦ πάθους τῆς γαστριμαργίας, οὐ δέον πάντη τὴν χρειώδη τροφὴν τὴν πρὸς τὴν τῆς ζωῆς σύστασιν ἀνελεῖν, ἀλλὰ τὴν ἁβροδίαιτον καὶ λυσσώδη δίαιταν. Τὸ δὲ φυγεῖν εἰς τὴν πέτραν σημαίνει τὴν κατὰ Χριστὸν πίστιν ἢ τὴν παγίαν ἕξιν τῆς πρακτικῆς ἥτις τὴν τῶν παθῶν ἀταξίαν εὐμαρῶς θανατοῖ· Ῥεμμὼν γὰρ ‘μετεωρισμὸς θανάτου’ ἑρμηνεύεται.

ΕΡΩΤΗΣΙΣ 42

Τί ἐστιν ὅπερ ὁ Ἀπόστολος ἐπιστέλλων Τιμοθέῳ ἔγραψεν «ἐπίστηθι εὐκαίρως ἀκαίρως»;

ΑΠΟΚΡΙΣΙΣ

Εἴτε τῇ κακίᾳ, φησίν, ἐνέχεταί τις, ὄντινα εὔκαιρόν ἐστιν διδαχθῆναι, ὑποτίθου αὐτὸν διὰ τῆς διδασκαλίας τὴν φυγὴν τοῦ κακοῦ καὶ τὴν αἵρεσιν τοῦ ἀγαθοῦ· εἴτε οὐκ ἐνέχεταί τις τῇ κακίᾳ, ὅπερ δοκεῖ ἀκαίρως, τὸν τοιοῦτον τὴν γνῶσιν ὑποτίθου, φησίν, κατασφαλιζόμενος αὐτὸν πρὸς μέλλουσαν πειρασμῶν ἐπανάστασιν.

ΕΡΩΤΗΣΙΣ 43

Τί σημαίνει ἡ παραβολὴ τῶν δέκα παρθένων;

(≡14A_076≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἐπειδὴ ὁ ἄνθρωπος πέντε αἰσθήσεις ἔχει νοερὰς ἀντιλημπτικὰς τῶν νοητῶν, πέντε δὲ σωματικὰς ἀντιλημπτικὰς τῶν αἰσθητῶν, δοκεῖ ἡ παραβολὴ τὸν καθένα αἰνίττεσθαι ἄνθρωπον. Ὅστις οὖν ἔχει τὴν λαμπάδα τῆς πρακτικῆς ἀρετῆς, ἔχει δὲ καὶ τὸ ἔλαιον τῆς γνώσεως ἐπάρδοντα, τουτέστιν μετὰ γνώσεως τὰς πράξεις γινομένας, οὗτος ὑποτάξας τὸ σῶμα καὶ τὰς τούτου αἰσθήσεις ταῖς νοεραῖς συνάψας, γέγονεν πέντε φρόνιμοι. Ὅστις δὲ τὴν πρακτικὴν δοκεῖ μετιέναι μὴ ἔχων τὸ τῆς γνώσεως ἔλαιον, ἀλλ᾽ ἢ διὰ κενὴν δόξαν ἢ διὰ γαστριμαργίαν ἢ φιλαργυρίαν ταύτην ἀφρόνως ἐπιτηδεύει, οὗτος τρέψας τὰς νοερὰς αἰσθήσεις περὶ τὰ

αἰσθητὰ καὶ πρόσκαιρα· καὶ ταύτας ἀπογεώσας, εἰκότως γέγονεν πέντε παρθένοι μωραί, ἐκ μόνων τῶν αἰσθητῶν γινωσκόμενος.

ΕΡΩΤΗΣΙΣ 44

Τί δηλοῖ κατ᾽ ἀναγωγὴν ὁ παράδεισος ὁ κατ᾽ ἀνατολὰς φυτευόμενος;

ΑΠΟΚΡΙΣΙΣ

Παράδεισον οἶμαι δηλοῦσθαι τὴν τοῦ ἀνθρώπου καρδίαν φυτευθεῖσαν ἐν τῇ ἀνατολῇ τῆς τοῦ Θεοῦ γνώσεως. Ἐν τῷ μεσαιτάτῳ ταύτης ἐφύτευσεν ὁ Θεὸς «τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Καὶ τὸ μὲν «ξύλον τῆς ζωῆς» λαμβάνεται ἐπὶ τοῦ λόγου τῶν νοητῶν, τὸ δὲ «γνωστὸν καλοῦ καὶ κακοῦ» ἐπὶ τοῦ λόγου τῶν αἰσθητῶν· οὗτος γὰρ ἔχει γνῶσιν καλοῦ τε καὶ κακοῦ· τοῖς μὲν γὰρ ἐκ τῆς καλλονῆς τῶν κτισμάτων τὸν δημιουργὸν ἐννοοῦσιν καὶ δι᾽ αὐτῶν (≡14A_078≡> ἀναγομένοις εἰς τὸν αἴτιον τούτων, γνῶσίς ἐστιν καλοῦ, τοῖς δὲ μόνῃ τῇ αἰσθήσει ἐναπομένουσιν καὶ τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν φενακιζομένοις ἐπὶ τὴν ὕλην τὴν πᾶσαν ὄρεξιν τῆς ψυχῆς τρέψασιν, γνῶσίς ἐστιν κακοῦ.

Εἰ δέ τις ἀπορῶν ἀνθυπενέγκοι ὅτι "πῶς δύναται ἐπὶ τοῦ ἑνὸς ἀνθρώπου τοῦτο ληφθῆναι ἵνα ποτὲ μὲν καλόν, ποτὲ δὲ πονηρὸν ἡ περὶ τοῦ ἑνὸς γνῶσις γένηται;", πρὸς ὃν λεκτέον ὅτι ἐπειδὴ εἴρηται τὸν νοητὸν καὶ τὸν αἰσθητὸν κόσμον εἶναι τὰ δύο ξύλα, μετέχει δὲ καὶ τῶν ἑκατέρων ὁ ἄνθρωπος ὡς ἐκ ψυχῆς καὶ σώματος ὤν, ἡνίκα οὖν τὸ τῆς ψυχῆς κῦρος ἐπὶ τὴν αἴσθησιν καὶ τὸ σῶμα ῥέψει, ἰδοὺ μετέλαβεν τοῦ ξύλου καὶ ἔγνω τὴν πεῖραν καλοῦ τε καὶ κακοῦ, καλοῦ μὲν κατὰ τὸ ἥδεσθαι φυσικῶς τὸ σῶμα τῇ ἀπολαύσει τῶν αἰσθητῶν, κακοῦσθαι δὲ τὴν ψυχὴν ἀρχομένην ὑπὸ τοῦ χείρονος καὶ τὰς φυσικὰς δυνάμεις ἐξασθενοῦσαν.

ΕΡΩΤΗΣΙΣ 45

Τί σημαίνει τὸ μετὰ τὴν ἀνάστασιν δειχθὲν ὑπὸ τοῦ Κυρίου ὀψάριον κείμενον ἐπὶ τὴν ἀνθρακιάν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ ἰχθὺς δηλοῖ τὴν ἀνθρωπείαν φύσιν νηχομένην ἐν τῇ συγχύσει τῶν παθῶν, ἣν διὰ τὴν ἄφατον φιλανθρωπίαν ὁ Κύριος κατελθὼν ἐν τῇ θαλάσσῃ τοῦ βίου ἀνέσπασεν καὶ ὀπτήσας τῷ πυρὶ τοῦ ἁγίου Πνεύματος καὶ πάσης γλισχρότητος παθῶν ἐκτήξας, βρῶσιν ἑαυτῷ τε καὶ τοῖς ἀποστόλοις πεποίηται. Πεινᾷ γὰρ ἀεὶ ὁ Λόγος τὴν ἡμῶν σωτηρίαν μετὰ τῶν ἑπομένων αὐτῷ· ὅθεν κατὰ μίμησιν αὐτοῦ καὶ θανεῖν ὑπὲρ τῆς ἡμῶν εἵλαντο σωτηρίας.

(≡14A_080≡> ΕΡΩΤΗΣΙΣ 46

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ Ζακχαῖος ὁ τελώνης καὶ τί τὰ κατ᾽ αὐτόν;

ΑΠΟΚΡΙΣΙΣ

Ζακχαῖος ὁ τελώνης ἐστὶν ὁ τὴν τοῦ Θεοῦ κτίσιν τελωνῶν εἰς ἰδίαν ἀπόλαυσιν. Ἀκούει δὲ τοῦ Λόγου παριόντος καὶ ἀνέρχεται ἐπὶ συκομορέαν ὅτ᾽ ἂν ὁ λόγος τῆς μετανοίας ἐν αὐτῷ γένηται· πείθει γὰρ αὐτὸν ἐπάνω τοῦ φρονήματος τῆς σαρκὸς γενέσθαι· τοῦτο γὰρ ἡ συκομορέα· ἐκεῖθεν γὰρ εὐμαρῶς τὸν Λόγον θεάσηται καὶ ἀκούσῃ αὐτοῦ ὅτι "σπεύσας κατάβηθι", τουτέστιν "εἰ ὅλον με δέξασθαι ποθεῖς ἐν τῷ οἴκῳ σου, μὴ μόνον τὸ ἐπάνω τοῦ σαρκικοῦ φρονήματος γενέσθαι ἀρκεῖν οἰηθῇς, ἀλλὰ καὶ διὰ τῶν ἀρετῶν μετ᾽ ἐμοῦ ποίησον τὴν πορείαν". Τὸ δὲ ἀποδίδωμι τετραπλοῦν τοῦτον δηλοῖ ἢ διὰ τῶν τεσσάρων γενικῶν ἀρετῶν ἑκάστῃ

κεχρημένος πρὸς κατόρθωσιν τῶν ἀγαθῶν ἔργων ἢ καὶ τὴν ἐνέργειαν καὶ τὴν συγκατάθεσιν καὶ τὰς προλήψεις τῶν μνημῶν καὶ τὰς ψιλὰς φαντασίας ἀποσκευάζων ἑαυτοῦ, τὴν μὲν γὰρ ἐνέργειαν διὰ τῆς ἐγκρατείας, τὴν δὲ συγκατάθεσιν διὰ τῆς προσοχῆς καὶ τῆς τῶν λογισμῶν παραφυλακῆς, τὰς δὲ προλήψεις διὰ τῆς ἐμμελοῦς ἀναγνώσεως, τὰς δὲ φαντασίας διὰ τῆς ἐκτενοῦς προσευχῆς. Ἢ τὴν πρακτικὴν λέγει καὶ φυσικὴν καὶ θεολογικὴν καὶ εὐκτικήν· ἡ γὰρ εὐκτικὴ τῆς θεολογίας ἐστὶν ὑψηλοτέρα· ἡ μὲν γὰρ ἐκ τῶν γεγονότων τὸ θεῖον θεολογεῖ, ἡ δὲ αὐτῷ συνάπτει ἀγνώστως καὶ ἀπορρήτως τὴν ψυχὴν τῷ Θεῷ.

ΕΡΩΤΗΣΙΣ 47

Τί σημαίνει τὸ ἐν τῇ ᾠδῇ Μωσέως γεγραμμένον "ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας" καὶ τίς ὁ οἶνος ὃν οὐ (≡14A_082≡> δεῖ πίνειν τὸν Ναζιραῖον καὶ τί τὸ ὄξος καὶ τὰ σίκερα καὶ σταφυλὴ καὶ στέμφυλα;

ΑΠΟΚΡΙΣΙΣ

Ἄμπελος Σοδόμων ἐστὶν ἡ ἀλογία· Σόδομα γὰρ ἑρμηνεύεται ‘ἐνέωσις’ ἤγουν ‘τύφλωσις,’ Γόμορρα δὲ ‘παραπικρασμός·’ ἀπὸ γὰρ τῆς ἀλογίας ὁ τῆς ἁμαρτίας παραπικρασμὸς καὶ ἡ ἐκστατικὴ τῆς κακίας μέθη τοῦ οἴνου. Ἔνθεν τὸν Ναζιραῖον ἀπέχεσθαι τοῦ τοιούτου οἴνου ὁ λόγος παρεγγυᾷ· Ναζιραῖος δὲ ἑρμηνεύεται ‘περιπεφραγμένος·’ τὸν γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατησφαλισμένον δέον ἀπέχεσθαι τοῦ τοιούτου τῆς ἀλογίας οἴνου, ἀλλὰ καὶ σταφυλῆς, τουτέστιν τοῦ θυμοῦ, καὶ σταφίδος τῆς μνησικακίας— αὕτη γάρ ἐστιν θυμοῦ παλαίωσις—ἀλλὰ καὶ ὄξους, τῆς ἐπὶ ἀστοχίᾳ τῶν καθ᾽ ἡδονὴν λύπης, καὶ τοῦ σίκερα, τοῦ ἐπὶ τῇ ἀμύνῃ τῶν πέλας ἥδοντος—γλυκέα γὰρ πάντα τὰ σίκερα— ἀλλ᾽ οὐδὲ τὰ στέμφυλα, τὰ ἐπινοητικὰ καὶ συστατικὰ εἴδη τῆς κακίας. Ἀλλ᾽ οὐδὲ τὴν τρίχα ὁ τοιοῦτος κείρεται, τουτέστιν τοὺς διαφόρους τοῦ νοῦ συστατικοὺς καὶ κόσμον αὐτῷ παρέχοντας λογισμούς. Διὰ τοῦτο Σαμψών—ἑρμηνεύεται δὲ ψιλούμενος ‘εἰκάζων εἰκασίαν,’ δασυνόμενος δὲ ‘ἥλιος αὐτῶν’—ἡνίκα ἐπὶ τὸν μηρὸν τῆς Δαλιδᾶς ἀνεπάη, τουτέστιν ἐπὶ τὸ παθητικὸν τῆς ἡδονῆς μέρος ἔρριψεν, ἀφῃρέθη τὰς τρίχας, τοὺς λογισμοὺς δηλαδή, τουτέστιν ἰσχὺν αὐτοῦ διδόντας κατὰ τῶν παθῶν καὶ γέγονεν παίγνιον δαιμόνων, τυφλωθεὶς τοὺς δύο ὀφθαλμούς, πρακτικῆς φημι καὶ θεωρητικῆς γνώσεως.

ΕΡΩΤΗΣΙΣ 48

Τί ἐστιν κατὰ τὸν Ἀπόστολον "περιζωσάμενοι τὴν (≡14A_084≡> ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ" καὶ τὰ λοιπὰ ὅπλα τῆς πνευματικῆς παρατάξεως;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ «περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ» καλῶς ὁ τῆς θεολογίας ἐπώνυμος ἑρμήνευσε Γρηγόριος, φάσκων "μήποτε ὡς τὸ ἐπιθυμητικὸν τοῦ θεωρητικοῦ περισφίγγοντος". Τὸ δὲ «ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης» ἐστὶν ἐπειδὴ ἡ δικαιοσύνη ἕξις ἀπονεμητικὴ τοῦ ἴσου ἐστίν, δεῖ δὲ τὰς ἐν ἡμῖν τῆς ψυχῆς τρεῖς δυνάμεις ἰσοστατεῖν καὶ διὰ τούτων τὰς τέσσαρας γενικὰς ἀρετὰς ἰσοκρατῶς συνίστασθαι— τοῦτο γὰρ δικαιοσύνη— καὶ διὰ μὲν τῆς φρονήσεως τὸ λογικὸν κινούμενον πρὸς τὴν τῶν

ὄντων ἐπίσκεψιν δίκην ἀλυσιδωτοῦ θώρακος λόγον ἀποδεσμεῖ λόγῳ· ὡσαύτως καὶ σωφροσύνης καὶ τῶν λοιπῶν τοὺς διαφόρους λόγους ἐν τῷ ἑνὶ συνάπτοντα χρὴ κατασφαλίζειν ἑαυτὸν πρὸς τὸ μὴ τιτρώσκεσθαι ὑπὸ τῶν πεμπομένων ὑπὸ τοῦ ἐχθροῦ βελῶν. Θυρεὸν δὲ πίστεως δεῖ νοεῖν τὴν ἐν τῷ σώματι περιφερομένην τοῦ Ἰησοῦ νέκρωσιν· ἐκ ξύλου γὰρ καὶ βύρσης κατεσκευασμένος ὁ θυρεὸς τὸ τοῦ σταυροῦ μυστήριον ἡμῖν ὑπαινίσσεται καὶ τὴν ἐν τῷ σώματι νέκρωσιν· τοῖς γὰρ κεκτημένοις ταῦτα θυρεὸς πίστεως γίνονται.

Τὸ δὲ «ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης» οὕτως χρὴ νοεῖν· ἐπειδὴ «Εὐαγγέλιον εἰρήνης» τὸ χάρισμα τῆς ἀπαθείας εἶναι ὑπενοήσαμεν, τῷ οὖν μήπω εἰς αὐτὸ καταντήσαντι ὁ Ἀπόστολος παρακελεύεται πρὸς ἑτοιμασίαν τοῦ τοιούτου χαρίσματος τὰς βάσεις τῆς ψυχῆς τῇ νεκρότητι τοῦ σώματος ὑποδεδέσθαι· οὕτως γὰρ ὑπὸ τῆς ἀκάνθης τῶν παθῶν ἄπληκτος διαμένει καὶ ὑπὸ τῶν ὄφεων καὶ σκορπίων, τῶν πονηρῶν φημι λογισμῶν, ἄτρωτος. «Περικεφαλαία» (≡14A_086≡> δὲ «σωτηρίου» ἐστὶν ἡ ἐλπίς· ἐπειδὴ γὰρ ἡ αἰσθητὴ περικεφαλαία ἐστὶν ἡ κάσσις, ἐκ χαλκοῦ ἔχουσα τὴν κατασκευήν, ὁ δὲ χαλκὸς στιβαρὸς καὶ στίλβων καὶ μὴ δεχόμενος μείωσίν ἐστιν, ἡ δὲ κεφαλὴ τὴν πίστιν δηλοῖ, δεῖ νοεῖν ὅτι ἡ κατασφαλιζομένη τὴν πίστιν ἐστὶν ἡ ἐλπίς· αὕτη γὰρ στερρὰ καὶ ἀμείωτος οὖσα, οὐκ ἐᾷ τὴν πίστιν παραβλέπεσθαι. Πάντα γὰρ ἐλπίζει καὶ οὐκ ἐξίσταται τῆς περὶ Θεὸν πεποιθήσεως, ἀλλ᾽ εἰ καὶ δοξάζει κατὰ τὸν Ἰὼβ τοῖς πολλοῖς ἰοῦ δίκην ἐξουδενοῦσθαι, ἀλλ᾽ ἔνδον ὁ τοιοῦτος στίλβων ἐστὶν καὶ φαιδρός, τῇ ἐλπίδι γαννύμενος.

Ἡ δὲ «μάχαιρα τοῦ Πνεύματός» ἐστιν ἡ διάκρισις «ἡ διαιροῦσα τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος»· ταύτην δὲ μετὰ χεῖρας ἔχειν ἀεὶ ὁ Ἀπόστολος παραγγέλλει, τουτέστιν διὰ τῆς πράξεως ἀεὶ ταύτην ἐνεργὸν ἔχοντας μεταχειρίζεσθαι· ὡς γὰρ ἡ ἐκ σιδήρου μάχαιρα ἀεὶ χειριζομένη φοβερὰ τοῖς ὑπεναντίοις ἐστίν, εἰ δὲ ἀποτεθῇ καὶ ἀργήσει, τῷ ἰῷ δαπανᾶται, οὕτως καὶ ἡ διάκρισις εἰ μὴ συνῆπται τῇ πράξει, ἀνόνητός ἐστιν καὶ ἄχρηστος καὶ ὑπὸ τῆς κακίας δαπανᾶται.

ΕΡΩΤΗΣΙΣ 49

Τί σημαίνει Δωὴκ ὁ Σύρος ὁ φονεύσας τοὺς τριακοσίους πεντήκοντα ἱερεῖς;

ΑΠΟΚΡΙΣΙΣ

Δωὴκ ὁ Σύρος ὁ ‘ὑπερήφανός’ ἐστιν ‘λογισμὸς' ἢ 'τὸ τῶν παθῶν σάλος’ κατὰ τὴν τοῦ ὀνόματος ἑρμηνείαν. Καὶ εἰκότως τὰς ἡμιόνους βόσκει ὁ τοιοῦτος Σαούλ, τὴν ἄγονον τῆς ἀρετῆς ἕξιν. Καὶ ἀντίκειται τῷ Δαυΐδ, τῷ λογισμῷ τῆς ταπεινώσεώς (≡14A_088≡> φημι· Δαβὶδ γὰρ κατὰ μίαν τοῦ ὀνόματος αὐτοῦ ἑρμηνείαν ‘ἐξουδενωμένος’ ἑρμηνεύεται. Οὗτος φονεύει τοὺς ἱερεῖς Νόμβα, τουτέστιν τοὺς ἐνκαθημένους τῇ ἀρετῇ θείους καὶ ἱλαστικοὺς λογισμούς—Νόμβα γὰρ ‘ἐγκαθισμὸς’ ἑρμηνεύεται—, τριακοσίους δὲ πεντήκοντα ἐπειδὴ διὰ τῶν αἰσθήσεων προσβάλλοντες τῇ κτίσει τοῦ Θεοῦ τῇ ἐν ἓξ ἡμέραις γεγενημένῃ, τὸν ταύτης δημιουργὸν ὑπερθαυμάζοντες δοξάζομεν διὰ τῆς τῶν λογισμῶν ἐπιστημονικῆς γνώσεως· ἑξάκις δὲ πεντήκοντα ποιεῖ τὸν τριακόσια ἀριθμόν· πάλιν δὲ τὰς δέκα ἐντολὰς τοῦ νόμου διὰ τῶν αἰσθήσεων ἐκπληροῦντες ἀποτελοῦμεν τὸν πεντήκοντα. Τοὺς λογισμοὺς οὖν τοὺς ἐκ τούτων

ἱερουργοῦντας τῷ Θεῷ καὶ τῇ ἀρετῇ ἐγκαθημένους ἀποκτέννειν πέφυκεν ὁ ὑπερήφανος λογισμὸς ἢ καὶ ὁ τῶν παθῶν σάλος.

ΕΡΩΤΗΣΙΣ 50

Πῶς χρὴ νοεῖν τὸ ἐν τῷ Συμβόλῳ λεγόμενον "σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου";

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν ἁγίων ὅτι ἐκ Πνεύματος μὲν ἁγίου δίκην γονῆς ἀνδρὸς τὴν ψυχὴν καταβληθῆναι, τὴν δὲ σάρκα διαπλασθῆναι ἐκ τῶν παρθενικῶν αἱμάτων.

ΕΡΩΤΗΣΙΣ 51

Τί ἐστιν τὸ τῶν Παροιμιῶν "χειρὶ χεῖρα ἐμβαλὼν οὐκ ἀθῳωθήσεται";

ΑΠΟΚΡΙΣΙΣ

Πράξει ἐναρέτῳ ὁ πρᾶξιν μίσγων φαύλην «οὐκ ἀθῳωθήσεται».

(≡14A_090≡> **ΕΡΩΤΗΣΙΣ 52**

Ἐκ τῶν αὐτῶν· «μὴ ἐγγυήσῃς σὸν φίλον· εἰ γὰρ μὴ ἔχεις» ἀποδοῦναι, «λήμψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου».

ΑΠΟΚΡΙΣΙΣ

Φίλον λέγει τὸ σῶμα διὰ τὴν πρὸς αὐτὸ τῆς ψυχῆς σχέσιν· τοῦτο μὴ ἐγγυᾶσθαί φησιν, τουτέστιν μὴ φειδοῦς ἀξιοῦν, μὴ δὲ τοὺς ὑπὲρ ἀρετὴν πόνους ἀποδιδόναι ὀφείλοντα, τὴν ἄνεσιν ἐᾶν μεταδιώκειν. Εἰ γὰρ τῇ ἀσκήσει προσανέχων ὁ νοῦς ἄρξηται ὑπενδιδόναι, μὴ εὑρίσκων ἀποδοῦναι ὁ νοῦς τὸν ὑπὲρ ἀρετῆς λόγον, λαμβάνουσιν οἱ δαίμονες καὶ εἰς ἃς ἐπανεπαύετο ἀσκήσεις ἐξ αὐτοῦ· τοῦτο γὰρ δηλοῖ τὸ στρῶμα.

ΕΡΩΤΗΣΙΣ 53

Τί δηλοῖ τὸ Ἡσαΐου ῥητὸν "τίς ἐμέτρησεν τῇ χειρὶ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί";

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ τὸν προφήτην Ἀμβακοὺμ «ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ» τοῦ Κυρίου, τουτέστιν ἡ κατὰ σάρκα αὐτοῦ πολιτεία τὴν τῶν ἐν οὐρανοῖς ἀγγέλων ἀρετήν, αὐτὸς τῇ πράξει— τοῦτο γὰρ ἡ χείρ—ἐμέτρησεν πᾶσαν τὴν γνῶσιν, ὕδωρ τροπικῶς ὀνομασθεῖσαν· ἡ γὰρ ἑνωθεῖσα τῷ Λόγῳ φύσις πᾶσαν τὴν γνῶσιν κατείληφεν. Τὸν δὲ οὐρανὸν σπιθαμῇ· οὐρανὸν λέγων τὸν ὑψηλότερον τῶν ὄντων λόγον, σπιθαμὴν δὲ τὴν μετὰ πράξεως ἐκτεταμένην γνῶσιν τῶν αἰσθητῶν διὰ τὸ πέντε δακτύλους ἔχειν τὴν χεῖρα· τούτους οὖν τοὺς λόγους ἐνανθρωπήσας (≡14A_092≡> ὁ Κύριος ἐξεμέτρησεν ἀνακεφαλαιωσάμενος τὰ πάντα ἐν αὐτῷ. Τὸ δὲ πᾶσαν τὴν γῆν δρακὶ τοῦτο δηλοῖ, ὅτι οὕτως ὁ Κύριος τὴν ἑαυτοῦ σάρκα γηΐνην οὖσαν περιέσφιγξεν ὡς μηδὲ τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη μὴ ἐφιέντος αὐτοῦ ἐνεργεῖν.

ΕΡΩΤΗΣΙΣ 54

Τίς ὁ Ἐζεκίας καὶ τίς ἡ ἀσθένεια καὶ τίς ἡ παλάθη ἐξ ἧς ἰάθη τὸ τραῦμα;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Ἐζεκίας εἰς πρόσωπον λαμβάνεται τῆς ἀνθρωπότητος· τὸ δὲ τραῦμα τὸ ἐν τῷ μηρῷ σημαίνει τὸν νόμον τῆς ἁμαρτίας διὰ τὸ παρακεῖσθαι τῷ μηρῷ τὰ γεννητικὰ μέρη· ἡ δὲ παλάθη ἐστὶν ἡ σὰρξ ἡ ζωοποιὸς τοῦ Κυρίου, μὴ ἔχουσα ὀπὸν ἁμαρτίας, ἐξ ἧς ἴασις ἡμῖν γέγονεν τῆς πληγῆς τῆς παραβάσεως.

ΕΡΩΤΗΣΙΣ 55

Τί σημαίνει τὸ ἐκπεσὸν σιδήριον ἐν τῷ Ἰορδάνῃ ἀφ᾽ ἑνὸς τῶν υἱῶν τῶν προφητῶν ὅπερ ὁ προφήτης Ἐλισσαῖος ἐμβαλὼν ξύλον, ἐπιπολάσαι πεποίηκεν;

ΑΠΟΚΡΙΣΙΣ

Εἰρηναῖος λέγει «δι᾽ ἔργου» δεῖξαι τὸν προφήτην ἐν τῷ ἀναγαγεῖν τὸ σιδήριον ὅτι «τὸν στερεὸν Λόγον τοῦ Θεοῦ ὃν ἀμελῶς ἀποβαλόντες οὐχ εὑρίσκομεν, ἀποληψόμεθα πάλιν διὰ τῆς τοῦ ξύλου οἰκονομίας. Ὅτι δὲ ἀξίνῃ ἔοικεν ὁ Λόγος τοῦ Θεοῦ διδάσκει Ἰωάννης ὁ Βαπτιστὴς λέγων "ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται" καὶ Ἱερεμίας δὲ λέγων "ὁ Λόγος Κυρίου ὡς πέλεκυς κόπτων πέτραν"».

(≡14A_094≡> **ΕΡΩΤΗΣΙΣ 56**

Τί σημαίνει ὁ ἐν τῷ εὐαγγελίῳ τῶν ρνγ (153) ἰχθύων ἀριθμός;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδήπερ ἀπὸ μιᾶς ἀρχόμενος κατὰ σύνθεσιν μέχρις τῶν δέκα ἑπτὰ πληροῖς τὸν ἀριθμὸν τοῦτον, σημαίνει ὅτιπερ διά τε τῆς ἐκπληρώσεως τῶν δέκα ἐντολῶν καὶ τῶν ἑπτὰ ἐνεργειῶν τοῦ ἁγίου Πνεύματος εἰσέρχονται οἱ σῳζόμενοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἢ καὶ τοὺς διὰ πίστεως τῆς ἁγίας Τριάδος καὶ τῆς τῶν μελλόντων ἐλπίδος —ὑπερθετικὸς γὰρ τοῦ ἑβδοματικοῦ χρόνου ὁ πεντηκοστὸς ἀριθμός ἐστιν—καὶ τῆς διὰ τῶν ἐντολῶν ἐνεργείας, ὅπερ σημαίνεται διὰ τοῦ ἑκατοστοῦ ἀριθμοῦ, σῳζομένους καὶ τὴν βασιλείαν ἀξιουμένους.

ΕΡΩΤΗΣΙΣ 57

Τίνες εἰσὶν οἱ ἄνδρες καὶ αἱ γυναῖκες καὶ οἱ ὄφεις ὑπὲρ ὧν ὁ Κύριος κατὰ Γρηγόριον τὸν Νύσης τὰς γ (3) ἐν τῷ ᾅδῃ ἡμέρας πεποίηκεν;

ΑΠΟΚΡΙΣΙΣ

Τρεῖς εἰσὶν τῆς ψυχῆς δυνάμεις, λογικόν, θυμικόν, ἐπιθυμητικόν· οἱ μὲν οὖν ἄνδρες λαμβάνονται εἰς τὸ λογικόν, αἱ δὲ γυναῖκες εἰς τὸ ἐπιθυμητικόν, οἱ δὲ ὄφεις εἰς τὸ θυμικόν. Ἀποκαθίστανται οὖν ἐν τῷ μέλλοντι αἰῶνι αἱ τρεῖς αὗται δυνάμεις τῇ ἐπιγνώσει· ὑπὲρ αὐτῶν δὲ καὶ ὁ Κύριος τὸ ζωοποιὸν κατεδέξατο πάθος καὶ τὴν εἰς ᾅδου κάθοδον.

ΕΡΩΤΗΣΙΣ 58

Ἐκ τῶν Παροιμιῶν, τὸ «διορατικὸν ἄνδρα καὶ ὀξὺν» (≡14A_096≡> τοῦ νοῆσαι «βασιλεῦσιν δεῖ παρεστάναι», πῶς νοήσωμεν;

ΑΠΟΚΡΙΣΙΣ

Τὸν ὀξὺν περὶ τὸ πρακτικὸν καὶ θεωρητικὸν περὶ τὸ γνωστικὸν τοῖς τρισὶν νόμοις παρεστάναι ὁ λόγος βούλεται, τῷ φυσικῷ καὶ τῷ γραπτῷ καὶ τῷ τῆς χάριτος, ἵνα ἐξ αὐτῶν ὁδηγούμενος κατορθώσῃ δεόντως πρακτικὴν καὶ φυσικὴν καὶ θεολογικὴν φιλοσοφίαν.

ΕΡΩΤΗΣΙΣ 59

Ἐκ τῶν αὐτῶν· «ἑπτάκις πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται».

ΑΠΟΚΡΙΣΙΣ

Δίκαιον ἐνταῦθα τὸν μόνον ἀληθῶς δίκαιον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑπολαμβάνειν χρεών. Ἐπεὶ οὖν αὐτὸς ἐν ἡμῖν λέγεται καὶ πίπτειν καὶ ἀνίστασθαι ὡς τὰ ἡμέτερα πάντα διὰ φιλανθρωπίαν καταδεξάμενος, ἔπεσεν δὲ ἡ φύσις ἡμῶν ἑπτάκις— κατά τε τὴν τοῦ προπάτορος παράβασιν πρώτην γενομένην, δευτέραν δὲ τὴν τολμηθεῖσαν τοῦ Κάϊν μιαιφονίαν, πρῶτον τῇ φύσει καινοτομήσαντος φόνον, τρίτην ἐπὶ τῆς κατὰ τὸν Νῶε γενεᾶς, ἐφ᾽ ἧς οὐ κατέμεινεν τὸ Πνεῦμα τοῦ Θεοῦ διὰ τὸ εἶναι σάρκας, τετάρτην ἐπὶ τῆς πυργοποιΐας, πέμπτην ἐπὶ τῆς κατὰ τὸν Ἀβραὰμ γενεᾶς, ἐξ ἧς μόνος αὐτὸς τῷ Θεῷ εὐηρέστησεν, ἕκτην ἐπὶ τοῦ Μωυσέως, εἰς τοσοῦτον τῆς ἐπ᾽ αὐτοῦ γενεᾶς ἀθεΐας ἐξοκειλάσης ὡς αὐτὸν εἰς ἐπικουρίαν τῆς τοσαύτης ἀσεβείας ἀπὸ Θεοῦ πεμφθῆναι, ἑβδόμην ἐπὶ τῆς τῶν προφητῶν γενεᾶς, ἥτις τὰς προλαβούσας γενεὰς εἰς κακίας μέτρον πάσας ὑπερηκόντισεν— ἐπεὶ οὖν, ὡς εἴρηται, ἑπτάκις ἔπεσεν ἡ (≡14A_098≡> φύσις ἡμῶν, ταύτην ἀφάτῳ φιλανθρωπίᾳ κινηθεὶς ἀνέστησεν ὁ Κύριος, αὐτὴν τὴν φύσιν ἑνώσας ἑαυτῷ καθ᾽ ὑπόστασιν.

ΕΡΩΤΗΣΙΣ 60

Τίνας σημαίνει ὁ Ἀπόστολος λέγων "τοὺς προηλπικότας ἐν τῷ Χριστῷ" πρὸς Ἐφεσίους γράφων;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς τις τῶν ἁγίων τῶν πρὸ τῆς ἐπιδημίας τοῦ Κυρίου, οἱανοῦν ἀρετὴν ἐξασκῶν, κἂν εἰ μὴ τὸ ὅλον τῆς οἰκονομίας μυστήριον ἐγίνωσκεν, ἀλλ᾽ ἐκ μέρους φυσικῶς κινούμενος ἤλπιζεν καὶ προσεδόκα ὅτι ὁ τὴν φύσιν ποιήσας αὐτὸς καὶ παραφθαρεῖσαν ἀνασώσηται.

ΕΡΩΤΗΣΙΣ 61

Ἐκ τοῦ αὐτοῦ· «εἰς τὸ εἰδέναι ἡμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ».

ΑΠΟΚΡΙΣΙΣ

«Ἡ τῆς κλήσεως ἐλπίς» ἐστιν ἡ κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου πολιτείαν διὰ πράξεως ἀπάθεια· «πλοῦτος» δὲ «τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις» ἐστὶν ὁ κατὰ τὴν γνῶσιν τῆς ἀληθείας πλοῦτος· «ὑπερβάλλον» δὲ «μέγεθος τῆς δυνάμεως αὐτοῦ» ἐστιν ἡ τοῖς ἀξίοις δωρηθησομένη θέωσις, ὡς ὑπὲρ φύσιν οὖσα καὶ θεοὺς ἐξ ἀνθρώπων κατὰ χάριν τοὺς μετόχους ἀποτελοῦσα.

(≡14A_100≡> **ΕΡΩΤΗΣΙΣ 62**

Τοῦ αὐτοῦ Ἀποστόλου· «αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς».

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο εἴρηται τῷ Ἀποστόλῳ, ὡς οἶμαι, ἐπειδὴ κατ᾽ ἀρχὰς ποιήσας ὁ Θεὸς τὸν ἄνθρωπον, διὰ δὲ τῆς παραβάσεως παραπεσόντα ἀνέκτισεν πάλιν διὰ τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας καὶ εἰς τὸ ἀρχαῖον ἀπεκατέστησεν.

ΕΡΩΤΗΣΙΣ 63

Τοῦ αὐτοῦ· «ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΙΣ

Εἴτε τοὺς δύο λαοὺς συνάψας ἐποίησεν ἕν, εἴτε τὰ ἐπίγεια καὶ τὰ οὐράνια—συνῆψεν γὰρ καὶ ταῦτα, διεστηκότα πρὸς ἄλληλα—εἴτε καὶ εἰς τὸν καθένα λαμβάνεις· συνῆψεν ψυχὴν καὶ σῶμα ἀεὶ πρὸς ἑαυτὰ στασιάζοντα· ὑπέταξεν γὰρ «τὸ φρόνημα τῆς σαρκὸς τῷ νόμῳ τοῦ πνεύματος». «Καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας»· μεσότοιχον ἢ τὴν σάρκα ἢ τὰ αἰσθητὰ ἢ τὴν νομικὴν λατρείαν ἐκάλεσεν, φραγμὸν δὲ τὴν ἁμαρτίαν· ταῦτα γὰρ τοίχου δίκην, μὴ ἐπιστημόνως μὴ δὲ μετὰ γνώσεως πνευματικῆς κεχρημένοις αὐτοῖς ἡμῖν, διετείχιζον ἡμᾶς ἐκ τοῦ Θεοῦ καὶ τῇ ἁμαρτίᾳ ὑπέβαλλον. Τὴν ἔχθραν ἐν τῇ σαρκί· τὴν ἁμαρτίαν ἔχθραν εἰπών· αὐτὴ γὰρ ἡμᾶς ἐχθροὺς τοῦ Θεοῦ κατέστησεν. Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασιν καταργήσας· νόμος ἐντολῆς ἐστιν τὸ οὐ φονεύσῃς καὶ τὰ λοιπά· ὁ δὲ φυσικῶς τῇ ἐντολῇ ἐπιβάλλων καὶ γινώσκων τὸν λόγον τῆς ἐντολῆς οἶδεν ὅτι οὐ μόνον σωματικοῦ φόνου ἀπέχεσθαι δεῖ, ἀλλὰ καὶ παντὸς (≡14A_102≡> πάθους λυμαινομένου τὴν φύσιν· καὶ γὰρ καὶ φθόνος καὶ καταλαλιὰ καὶ πάντα τὰ πάθη φθαρτικὰ τῆς φύσεώς εἰσιν. Ὁ Κύριος οὖν ἐλθὼν ἐν δόγμασιν κατήργησεν τὸν νόμον, ἀντὶ τοῦ "ἔπαυσεν", λέγων «ἐρρήθη τοῖς ἀρχαίοις "οὐ φονεύσῃς", ἐγὼ δὲ λέγω ὑμῖν· "πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται"», ἀλλ᾽ οὐ μόνον διδάξας ἀλλὰ γὰρ καὶ ποιήσας. Καὶ τὰς θυσίας δὲ τὰς κατὰ τὸν νόμον δογματίσας κατήργησεν, πνευματικῶς νοεῖσθαι παρασκευάσας· μᾶλλον δὲ τὰς πολλάς, τύπον οὔσας τοῦ κατ᾽ αὐτὸν μυστηρίου δείξας, κατέπαυσεν.

ΕΡΩΤΗΣΙΣ 64

Ἐκ τῶν Παροιμιῶν· «τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; τίς συνέτριψεν ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησεν τῶν ἄκρων τῆς γῆς; τί ὄνομα αὐτῷ»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατ᾽ ἀρχὰς ὁ ἄνθρωπος ἐπὶ τοῦτο ἐπλάσθη ὥστε πρὸς τὴν αἰτίαν ἀναβῆναι τῷ πόθῳ καὶ εἶθ᾽ οὕτως εἰς τὰ μετὰ τὴν αἰτίαν κτίσματα κατελθεῖν καὶ ταῦτα καλῶς τῇ γνώσει ἐπισκοπήσαντα ἀναβιβάσαι πρὸς τὸν ποιητὴν τούτων, τοῦτο δὲ οὐκ ἐποίησεν, ἀλλὰ πρὶν ὑψωθῆναι πρὸς τὸν Θεὸν κατένευσεν πρὸς τὴν ὕλην, ἐλθὼν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁ δεύτερος Ἀδὰμ «ἀνακεφαλαιώσατο ἐν αὐτῷ τὰ πάντα» καὶ ἔδειξεν εἰς τί παρήχθη ὁ πρῶτος ἄνθρωπος. Κατὰ γὰρ τὴν πρόσληψιν τῆς ἀνθρωπείας φύσεως πρῶτον ἀνέβη κινηθεὶς πρὸς τὸν αἴτιον, εἶτα καὶ κατέβη κατὰ τὴν θεότητα, τὴν τοῦ «δούλου μορφὴν» ὑποδύς, καὶ πάλιν δὲ ἀνέβη κατὰ τὸ συναμφότερον ἐν τῇ (≡14A_104≡> μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀναλήψει. Οὕτω δεῖ καὶ ἡμᾶς πρῶτον ὑψοῦσθαι πρὸς τὸν Θεὸν καὶ στομοῦντας τὴν ψυχὴν τὸν ὅλον αὐτῆς πόθον πρὸς αὐτὸν τείνειν καὶ εἶθ᾽ οὕτως καταβαίνειν ἐπὶ τὴν ἔρευναν τῶν ὄντων καὶ ἕκαστον ὡς ἔχει φύσεως ἐπισκοπεῖν καὶ πάλιν δι᾽ αὐτῶν ἀναβιβάζεσθαι τῇ θεωρητικῇ γνώσει εἰς τὸν τούτων δημιουργόν.

Ὁ τοιοῦτος συνάγει «ἀνέμους ἐν κόλπῳ»· τοὺς γὰρ διαφόρους λόγους τῶν ὄντων τροπικῶς ἀνέμους ὀνομασθέντας συνάγει εἰς τὸν κόλπον τῆς ἑαυτοῦ καρδίας. Ἐπεὶ οὖν κόλπος ἐστὶν ὁ ὀμφαλὸς ἐν ᾧ φασιν τὸν

πρῶτον γόνον τὴν ἀρχὴν λαμβάνειν, χρὴ νοεῖν ὅτι ἐν τῷ γονίμῳ καὶ θεωρητικῷ μέρει τῆς καρδίας συνάγων τοὺς διαφόρους λόγους ἀποτίκτει ἕνα λόγον Θεοῦ· οἱ γὰρ πολλοὶ τῶν ὄντων λόγοι εἰς ἓν συνάγονται. Ἀλλὰ καὶ συντρίβει ὕδωρ ἐν ἱματίῳ· ὕδωρ εἰσίν, ὡς πολλαχοῦ τῆς Γραφῆς εὑρήσεις λεγούσης, οἱ πειρασμοί· τούτους ἐν τῷ ἰδίῳ σώματι ἢ καὶ ἐν τῷ ἠθικῷ μέρει τῆς φιλοσοφίας πάσχων μεθ᾽ ὑπομονῆς συντρίβει, ἀπράκτους αὐτοὺς ἀποπέμπων. Κρατεῖ δὲ καὶ τῶν ἄκρων τῆς γῆς, μὴ δὲ τὰ φυσικὰ τοῦ σώματος πάθη συγχωρῶν ἀλόγως ἐκφέρεσθαι.

ΕΡΩΤΗΣΙΣ 65

Ἐκ τοῦ Ἡσαΐου· «καὶ ἔσονται οἱ καταλελειμμένοι ὑπὲρ τὸ χρυσίον τὸ ἄπυρον».

ΑΠΟΚΡΙΣΙΣ

Οἱ δοκιμασθέντες διὰ τῶν πειρασμῶν καὶ ἐγκαταλειφθέντες πρὸς πλείονα πεῖραν ὡς Ἰώβ, ὁ Ἰωσὴφ καὶ οἱ κατ᾽ αὐτούς, οὗτοι ὑπὲρ «τὸ χρυσίον τὸ ἄπυρόν» εἰσιν, ὑπὲρ τὸν δίκην χρυσοῦ εὐθῆ πλασθέντα Ἀδάμ, τὸν μὴ πυρωθέντα διὰ πειρασμῶν καὶ βαστάσαντα.

(≡14A_106≡> ΕΡΩΤΗΣΙΣ 66

Τί σημαίνει ὁ ἐν τῇ Γενέσει «ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος»;

ΑΠΟΚΡΙΣΙΣ

Ἑκάτεροι τὸν Κύριον δηλοῦσιν· ὁ μὲν ἄνθραξ ὡς φωτιστικὸς καὶ καυστικός, διὰ τὸ παρεκτικὸν εἶναι τὸν Κύριον γνώσεως, δαπανητικὸν δὲ τῆς μοχθηρίας· ὁ δὲ πράσινος λίθος ἐπειδὴ τονωτικός ἐστιν τῆς ὁρατικῆς δυνάμεως, δηλοῖ καὶ αὐτὸς τὸν Κύριον, ὡς τοῦ θεωρητικοῦ τῆς ψυχῆς τόνου ποιητικόν.

ΕΡΩΤΗΣΙΣ 67

Τί σημαίνει κατὰ θεωρίαν ἡ τύφλωσις τοῦ Σαμψών;

ΑΠΟΚΡΙΣΙΣ

Σαμψὼν ἑρμηνεύεται ‘ἥλιος,’ ἡ δὲ Δαλιδὰ ‘πτωχεύουσα·’ ἐπέπεσεν οὖν ὁ Σαμψὼν ἐπὶ τὸν μηρὸν τῆς Δαλιδά, τουτέστιν ἐπὶ τὸ παθητὸν μέρος τῆς ἡδονῆς, καὶ ἐπτώχευσεν τῆς φωτιζούσης αὐτὸν ἀρετῆς. Τότε ἤνεγκεν κουρέα καὶ ξυρὸν καὶ ἐξύρησεν αὐτοῦ τοὺς ζ (7) βοστρύχους· κουρεύς ἐστιν ὁ διάβολος, ξυρὸν δὲ ἡ ἀπάτη κατὰ τὸ γεγραμμένον "ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον", οἱ δὲ ζ (7) βόστρυχοι ἑπτὰ ἐνέργειαι κατὰ τὸν προφήτην Ἡσαΐαν τοῦ πνεύματος. Ὅτ᾽ ἂν οὖν ἤρξαντο φύειν αὐτοῦ αἱ τρίχες, τουτέστιν ὅτ᾽ ἂν εἰς μετάμελον ἦλθεν τῶν αὐτῷ πεπραγμένων, τότε χειραγωγεῖ αὐτὸν τὸ παιδάριον, τουτέστιν ὁ νόμος τοῦ Θεοῦ, καὶ ἄγει αὐτὸν ἐπὶ τοὺς στύλους ἐφ᾽ ὧν ἐπεστήρικτο ὁ οἶκος τῶν ἀλλοφύλων, οἵτινές εἰσιν θυμὸς καὶ ἐπιθυμία, ὑφ᾽ ὧν πᾶς ἀλλόφυλος ἁλίσκεται νοῦς. Τὸ δὲ συναποθανεῖν τὸν Σαμψὼν τῶν ἀλλοφύλων, σημαίνει τὴν συντέλειαν ἤγουν νέκρωσιν τοῦ σαρκικοῦ φρονήματος.

(≡14A_108≡> ΕΡΩΤΗΣΙΣ 68

Τί σημαίνει αὐτὸς ὁ Σαμψὼν ἐν τῇ σιαγόνι τοῦ ὄνου ἀποκτείνας τοὺς ἀλλοφύλους;

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα τύπον ὁ Σαμψὼν φέρει τοῦ ἀληθινοῦ Ναζιραίου τοῦ Χριστοῦ· αὐτὸς γὰρ τὴν ἡμετέραν σάρκα λαβὼν ἄνικμον πάσης

ἁμαρτίας, τοὺς ἀλλοφύλους ἀνεῖλεν δαίμονας. Τὸ δὲ δεθῆναι ἐκ τῶν ἰδίων τὸν Σαμψὼν καὶ παραδοθῆναι τοῖς ἀλλοφύλοις σαφῶς ἐπὶ τοῦ Κυρίου πεπλήρωται· δήσαντες γὰρ αὐτὸν οἱ δοκοῦντες ἴδιοι εἶναι Ἰουδαῖοι παρέδωκαν τοῖς ἔθνεσιν. Ἀλλὰ καὶ ἐπήγασεν ἐκ τοῦ σώματος τοῦ Κυρίου ὥσπερ ἐκ τῆς σιαγόνος τὸ τῆς γνώσεως ὕδωρ ὅπερ ἐδίψα λέγων "ἵνα γινώσκωσίν σε τὸν ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν". Ἀλλὰ καὶ ἕκαστος Σαμψών, τουτέστιν Ναζιραῖος, διὰ τῆς σιαγόνος, τουτέστιν διὰ τῆς ἐγκρατείας τοῦ σώματος, ὅπερ ἐστὶν ἑτερογενὲς τῆς ψυχῆς καθὰ καὶ ὁ ὄνος τῆς ἐθνικῆς μερίδος τῷ νόμῳ, ἀποκτέννει τὰ πάθη διὰ τῆς πρακτικῆς. Εἶτα καὶ διψᾷ θείας γνώσεως καὶ διὰ τῆς ἐπικλήσεως ἐξ αὐτῆς τῆς ἐναρέτου πράξεως καταπέμπεται αὐτῷ θεία γνῶσις, ποτίζουσα αὐτὸν καὶ ἀναψύχουσα. Εἰ δὲ καὶ συνσχεθῇ ἔσω τειχῶν τῆς Γάζης, τουτέστιν ὑπὸ τῶν αἰσθητῶν, τοῖς ὤμοις τῆς πρακτικῆς ἀναλαμβάνει τὰς πόρτας, τουτέστιν τὰς αἰσθήσεις, καὶ ἀνάγει εἰς τὸ ὅρος τῆς ὑψηλῆς γνώσεως.

ΕΡΩΤΗΣΙΣ 69

Τίνος χάριν τὰ μὲν ἑπτὰ ἔθνη παρακελεύεται ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ ἀπολέσαι, τὰς δὲ πέντε σατραπίας οὐδαμῶς;

(≡14A_110≡> **ΑΠΟΚΡΙΣΙΣ**

Πάντα τὰ παρὰ φύσιν πάθη μισῶν ὁ Θεὸς κελεύει ἀπόλλυσθαι· τὰς δὲ κατὰ φύσιν τῶν πέντε αἰσθήσεων δυνάμεις οὐ βούλεται ἀναιρεθῆναι, εἰ δὲ ἄρα παρὰ φύσιν ποτὲ κινηθῶσιν, τὰς ἐνεργείας αὐτῶν ἀποκτέννυσθαι.

ΕΡΩΤΗΣΙΣ 70

Τί σημαίνει τὸ Εὐαγγέλιον λέγων "νίψαι σου τὸ πρόσωπον καὶ ἄλειψαί σου τὴν κεφαλήν";

ΑΠΟΚΡΙΣΙΣ

Τὸ πρόσωπον ἡμῶν ἐστιν ὁ βίος, χαρακτηρίζων καθάπερ ἡ ὄψις ὁποῖοί τινές ἐσμεν κατὰ τὸν ἔσω ἄνθρωπον. Τοῦτο οὖν ὁ λόγος παρακελεύεται νίπτειν, τουτέστιν καθαίρειν τὸν βίον κηλίδος πάσης ἁμαρτιῶν. Κεφαλὴ δέ ἐστιν ὁ ἡμέτερος νοῦς, ὃν ὁ λόγος ἀλείφειν κελεύει, τουτέστιν τῇ θείᾳ καταφαιδρύνειν γνώσει.

ΕΡΩΤΗΣΙΣ 71

Τί ἐστιν ἡ τοῦ Κυρίου ἀπόκρισις λέγοντος «εἴπατε τῇ ἀλώπηκι»—περὶ τοῦ Ἡρῴδου λέγων—ὅτι «σήμερον καὶ αὔριον ἰάσεις ἐπιτελῶ καὶ τῇ τρίτῃ τελειοῦμαι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡρῴδης ‘δερμάτινος’ ἑρμηνεύεται· χρὴ οὖν τοὺς σαρκικοὺς λογισμοὺς τοὺς θέλοντας ἀποσπάσαι τὸν νοῦν ἐκ τῆς πρακτικῆς ἀρετῆς βδελύττεσθαι καὶ λέγειν αὐτοῖς ὅτι σήμερον καὶ αὔριον ἰάσεις ἐπιτελῶ καὶ τῇ τρίτῃ τελειοῦμαι, τουτέστιν ἰῶμαι διὰ τῆς πρακτικῆς τὰ ἴδια μέλη πρῶτος, εἶτα καὶ τὰς αἰσθήσεις πρὸς τὸ τοῖς αἰσθητοῖς ὑγιῶς ἐπιβαλεῖν, καὶ τῇ τρίτῃ τελειοῦμαι, τῇ θεωρίᾳ τῆς θείας γνώσεως τὸ τέλειον λαμβάνων.

(≡14A_112≡> **ΕΡΩΤΗΣΙΣ 72**

Τί ἐστιν κατὰ τὸν Ἀπόστολον ὅτι «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται»;

ΑΠΟΚΡΙΣΙΣ

Σάρξ ἐστιν ἡ ἐπιθυμία, αἷμα δὲ ὁ θυμός· καὶ εἰκότως ὁ μὴ τούτων καθαρεύων βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται.

ΕΡΩΤΗΣΙΣ 73

Τί δηλοῖ τὸ ἐν Χωρὴβ Σινᾶ ὄρος καὶ τί τὰ γενάμενα ἐν αὐτῷ μυστήρια;

ΑΠΟΚΡΙΣΙΣ

Σινᾶ ἑρμηνεύεται ‘πειρασμός,’ Χωρὴβ δὲ ‘νέωσις.’ Χρὴ οὖν τὸν τοῦ ὕψους τῆς γνώσεως ἐφιέμενον πρῶτον ἐν τῇ ὑπομονῇ γενέσθαι τῶν πειρασμῶν καὶ νεῶσαι καὶ σπεῖραι καρπὸν γνώσεως καὶ δικαιοσύνης καὶ ἁγνίσασθαι ἀπὸ παντὸς πάθους, τρεῖς δὲ ἡμέρας, ἀντὶ τοῦ τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις, πάσης κεκαθάρθαι σαρκικῆς ἡδονῆς, μὴ συμπαραλαμβάνειν δὲ τὸ θῆλυ, μήτε μὴν ἄλογον, τοῦτο δηλοῦντος τοῦ λόγου, ὡς χρὴ τὸν ἄξιον θέλοντα γενέσθαι θείας φωνῆς μηδὲν ἔχοντα θηλυδριῶδες μήτε ἀλόγιστον, ἀλλὰ λαμπροῖς τοῖς ἱματίοις τῆς ἀρετῆς ἠμφιεσμένον προσβαίνειν τῷ ὄρει τῆς γνώσεως. Οὕτω γὰρ κατὰ τὸν θεσπέσιον Μωυσέα διὰ τῆς φυσικῆς θεωρίας καὶ τῆς τοῦ χρόνου ἰδιότητος—ὅπερ δηλοῖ τοὺς ἑβδομήκοντα πρεσβυτέρους—γενόμενον καὶ παρελθόντα τὰς φωνὰς καὶ τοὺς ἤχους, τὰς ἐκ τῶν φαινομένων δηλώσεις, μόνους ἐπιφέρεται μεθ᾽ ἑαυτοῦ Ἀαρὼν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ Ναδὰβ καὶ Ἀβιούδ, τουτέστιν Ἀαρὼν τὸν λόγον καὶ τοὺς αὐτοῦ υἱοὺς θυμὸν καὶ ἐπιθυμίαν. (≡14A_114≡> Ἀλλὰ καὶ τούτους καταλιπεῖν χρὴ δίκην καπνοῦ καὶ θυέλλης καὶ μόνον ἔχειν τὸν Ἀαρών, τὸν ἁπλοῦν πρὸς τὴν νόησίν φημι λόγον, δίκην ἀστραπῶν καταλαμπόμενον ταῖς θείαις ἐλλάμψεσιν, εἶτα καὶ τοῦτον καταλιπεῖν ἔξω καὶ εἰς τὸν γνόφον τῆς ἀγνωσίας εἰσδῦναι, ἔνθα πᾶσα ἀλογία καὶ ἀνοησία. Τοὺς δὲ ὑπὸ τὸ ὄρος ἁγνισθέντας τοῦ λαοῦ σημαίνειν οἶμαι τοὺς πρακτικούς, τοὺς δὲ ἑβδομήκοντα πρεσβυτέρους τοὺς τὴν φυσικὴν θεωρίαν μετερχομένους, τοὺς δὲ περὶ τὸν Ἀαρὼν τοὺς τὴν θεολογίαν μετιόντας, τοὺς δὲ κατὰ Μωυσέα τοὺς δι᾽ ἀποφάσεως καὶ ἀγνωσίας ἑνουμένους τῷ Θεῷ.

ΕΡΩΤΗΣΙΣ 74

Τί ἐστιν διάψαλμα;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι ὅτι ἢ ἀπὸ νοήματος εἰς νόημα μεταβολὴ ἢ καὶ τρόπου διδασκαλίας εἰς ἕτερον τρόπον.

ΕΡΩΤΗΣΙΣ 75

Τί ἐστιν τὸ «συνήφερεν αὐτῷ ἵνα μύλος ὀνικὸς περιτεθῇ ἐν τῷ τραχήλῳ αὐτοῦ καὶ ῥιφῇ ἐν τῇ θαλάσσῃ ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν»;

ΑΠΟΚΡΙΣΙΣ

Μικρούς, οἶμαι, λέγει τοὺς κατὰ διάνοιαν ἀφελεῖς καὶ διὰ σμικρότητα νοὸς μὴ δυναμένους διακρίνειν τὰ τῆς προνοίας κρίματα. Ὅστις οὖν σκανδαλίσῃ τοὺς τοιούτους, συνέφερεν αὐτῷ ἑλληνικῆς εἶναι μοίρας, οἳ δίκην ὄνου ἐν μυλῶνι μόνῃ τῇ κινήσει τοῦ κόσμου ἐνήσχηνται, καὶ ἵνα ῥιφῇ ἐν τῷ πελάγει τῆς (≡14A_116≡> θαλάσσης, τουτέστιν ἐν τῇ συγχύσει τοῦ βίου. Τοῦτο δὲ καὶ ὁ ἀπόστολος Πέτρος βεβαιοῖ λέγων "κρεῖσσον ἦν αὐτοῖς μὴ

ἐπιγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης ἢ ἐπιγνοῦσιν εἰς τὰ ὀπίσω ἀνακάμψαι".

ΕΡΩΤΗΣΙΣ 76

Τίνος ἕνεκεν μετὰ τὸ λιθοβοληθῆναι κατὰ πρόσταξιν Θεοῦ τὸν τὰ ξύλα ἐν σαββάτῳ συλλέξαντα, κελεύει εἰς τὰ κράσπεδα τῶν ἱματίων ἀποδεσμεῖσθαι κλῶσμα ὑακίνθινον;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πράξει καὶ γνώσει σαββατίζων, εἶτα ῥαθυμήσας, ἄρξηται τὰς ἐξαπτικὰς τῶν παθῶν ὕλας ἑαυτῷ ξύλων δίκην συλλέγειν, ἢ καὶ ὁ γνωστικὸς περὶ τὴν ἐπιφάνειαν τῶν ὁρατῶν στραφείς· εἰκότως τοῖς θείοις λόγοις οἱονεὶ λίθοις τὰ τοιαῦτα ἀποκτέννονται πάθη. Ἀλλ᾽ ἐπειδὴ ὁρῶν ὁ Θεὸς τὸ ῥάθυμον καὶ εὐόλισθον τῶν ἀνθρώπων, πρὸς τὸ μὴ τῇ λήθῃ κρατουμένους ἐκπίπτειν τῆς ἐντολῆς, κελεύει εἰς τὰ κράσπεδα τῶν ἱματίων ἀποδεσμεῖσθαι κλῶσμα ὑακίνθινον, ἵνα βλέποντες εἰς μνήμην ἔρχωνται τοῦ προστάγματος. Ταῦτα μὲν ὁ φαινόμενος τοῦ νόμου σκοπός, ὁ δὲ πνευματικὸς καὶ τὰ βάθη καθαίρων ἐστὶν οὗτος· ἐπειδὴ τὸ κράσπεδον ἐκ τοῦ στήμονος τοῦ ἱματίου ἐστίν, τοῦτο σημαίνει ὅτι δεῖ τῷ ἱματίῳ τῆς πρακτικῆς καὶ ἠθικῆς φιλοσοφίας ἠρτῆσθαι τὴν πίστιν—τοῦτο γὰρ ὁ στήμων— καὶ ἁπλῶς συμπεπλέχθαι πίστιν καὶ πρᾶξιν, ἐκ τούτων δὲ ἀποδεσμεῖσθαι ὑακίνθου τρόπον τὴν γνῶσιν ἤτουν σοφίαν· σοφίαν γὰρ κατὰ τοὺς ἐτυμολογοῦντας ἡ σοφία λέγεται, ὅπερ ἡ τῆς ὑακίνθου χρόα διὰ τῆς μελάνσεως ἐνδείκνυται.

(≡14A_118≡> **ΕΡΩΤΗΣΙΣ 77**

Τίς ἡ κατὰ τὸν Ἄβελ καὶ τὸν Κάϊν κατ᾽ ἀναγωγὴν θεωρία;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Κάϊν λαμβάνεται ἐπὶ τοῦ φρονήματος τῆς σαρκός, ὁ δὲ Ἄβελ ἐπὶ τοῦ πένθους ἤγουν τῆς μετανοίας. Ὅτ᾽ ἂν οὖν μήπω τελείως κατορθώσας τὴν πρακτικὴν ἕξιν ὁ νοῦς χλευάζεται ὑπὸ τοῦ φρονήματος τῆς σαρκὸς καὶ ἐκβαίνει μετ᾽ αὐτοῦ εἰς τὸ πεδίον, τουτέστιν εἰς τὸ πλάτος τῆς φυσικῆς θεωρίας, ἀποκτέννεται μὴ ἰσχύων τὰς ἐπιφανείας τῶν ὄντων διαπερᾶσαι ἀλλ᾽ ἐν αὐταῖς ἐναπομένων. Ὅστις οὖν ἀποκτέννει τὸν Κάϊν, τουτέστιν τὸ φρόνημα τῆς σαρκός, ὅπερ ἐστὶν ἡ συγκατάθεσις—ὁ γὰρ φονεύων τὸ πένθος συγκατατίθεται τῇ κακίᾳ—, ἑπτὰ ἐκδικούμενα παραλύει, τουτέστιν τὰ ἑπτὰ τῆς πονηρίας πνεύματα ἢ καὶ τὰ ὑπ᾽ αὐτῶν ἐνεργούμενα ἑπτὰ τῆς κακίας πάθη καταργεῖ. Ἡ δὲ κατάρα τοῦ στένειν τὸν Κάϊν δηλοῖ τὴν τοῦ συνειδότος ἐπανάστασιν τοῦ ἀεὶ τύπτοντος καὶ κατασείοντος αὐτοῦ τὴν διάνοιαν.

ΕΡΩΤΗΣΙΣ 78

Τί δηλοῖ ἡ κατὰ τὸν Λάμεχ ἱστορία;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν τὰ θεῖα πεπαιδευμένων ὅτι ἐν τοῖς καιροῖς τοῦ Λάμεχ ἀταξίας καὶ ἀναρχίας οὔσης ὁ δυνατὸς τὸν ἀσθενοῦντα κατεδυνάστευεν. Οὗτος οὖν ὁ Λάμεχ ὑπαντήσας ἄνδρα μετὰ τῆς γυναικὸς ἀπέκτεινεν αὐτὸν καὶ ἔλαβεν τὴν γυναῖκα αὐτοῦ. Ἀπαντήσας δὲ καὶ ἀδελφὸν μετὰ ἀδελφῆς ἀπέκτεινεν καὶ αὐτὸν καὶ ἔλαβεν τὴν ἀδελφὴν αὐτοῦ. Καὶ τὸν μὲν ἐκάλεσεν ἡ (≡14A_120≡> Γραφὴ ἄνδρα, τὸν δὲ νεανίσκον. Ταῦτα μὲν κατὰ τὴν ἱστορίαν· κατὰ δὲ

θεωρίαν λαμβάνεται ὁ Λάμεχ ἐπὶ τῆς ἐνεργείας τῆς κακίας. Ἀπέκτεινεν γὰρ ἐν ἡμῖν τὸν ἄνδρα, τὸν φυσικὸν νόμον, καὶ ἔλαβεν ἐξ αὐτοῦ τὴν αἴσθησιν· ἀπέκτεινεν δὲ καὶ τὸν νεανίσκον, τὸν πνευματικόν φημι νόμον, καὶ ἔλαβεν ἐξ αὐτοῦ τὴν διάνοιαν, ὅπως ταύταις μιγνύμενος ὁ τῆς κακίας σπορεὺς ἀποτεκεῖν ποιήσῃ τὴν ἁμαρτίαν. Ἐκ τούτου οὖν τοῦ Λάμεχ ἑβδομηκοντάκις ἑπτὰ ἐκδικεῖται, τουτέστιν ὑπὲρ τῆς συγκαταθέσεως καὶ ἐνεργείας δίκας εἰσπράττεται. Ὅθεν ὁ Κύριος λέγοντι τῷ Πέτρῳ "ποσάκις ἐὰν ἁμάρτῃ εἰς ἐμὲ ὁ ἀδελφός μου ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;" ἀπεκρίθη ὁ Κύριος "οὐ μόνον ἕως ἑπτάκις ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά", τουτέστιν "τῷ μετανοοῦντί σοι μὴ μόνον τὰ μικρὰ τὰ ἐν συγκαταθέσει γινόμενα ἀλλὰ καὶ τὰς ἐνεργείας ἀφήσεις".

ΕΡΩΤΗΣΙΣ 79

Τί δηλοῖ τὸ χωνευτὸν καὶ τὸ γλυπτὸν καὶ τὸ θεραφὶν ἅπερ ἐποίησαν ἐπὶ τοῦ Γεδεὼν καὶ τί τὰ ἐνώτια καὶ οἱ μηνίσκοι ἅπερ ἐποίησεν ὁ Γεδεὼν ἐφοὺδ καὶ ἔστησεν ἐν τῇ πύλῃ καὶ γέγονεν εἰς σκάνδαλον τοῦ οἴκου αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ἐκεῖνος ποιεῖ χωνευτὸν κατὰ τὴν Γραφὴν ὁ ἐκ τῶν ἔξωθεν προλήψεων ἔχων τοὺς τύπους τῆς κακίας καὶ ἐξ αὐ τῶν χωνεύων καὶ εἰς ἐνέργειαν φέρων τὴν ἁμαρτίαν· γλυπτὸν δὲ ποιεῖ ὁ ἐξ ἑαυτοῦ δημιουργῶν τὸ πάθος· θεραφὶν δὲ ποιεῖ ὁ τὴν ἕξιν τῶν παθῶν κεκτημένος ὥσπερ δοχεῖον· φασὶ γὰρ τὸ θεραφὶν δοχεῖον εἶναι τοῦ αἵματος τῶν θυομένων. Τὸ δὲ ποιῆσαι τὸν Γεδεὼν ἀπὸ τῶν ἐνωτίων καὶ τῶν μηνίσκων ἐφούδ, τοῦτο (≡14A_122≡> σημαίνει ὅτι ὅστις τῶν διδασκάλων ἀφ᾽ ἑκάστου λαμβάνων λόγον ἢ δόγμα—τοῦτο γὰρ ἐνώτια καὶ μηνίσκοι—περί τινος τῶν κατὰ τὴν κτίσιν προφαινομένων, εἶτα ἐξ ὅλων συναγείρων ἓν μυστικὸν λόγον θεωρίας καὶ τοῦτον προτιθεὶς ἐν φανερῷ εἴτε καὶ ἐν βίβλοις κατατιθέμενος—τοῦτο γὰρ ἡ πύλη—, ὅσοι μὴ δύνανται νοῆσαι ἐκ νηπίας φρενὸς τὸ μυστικὸν τοῦ λόγου καὶ ἐνιαῖον, σκανδαλίζονται εἰς τὸν εἰπόντα διδάσκαλον.

ΕΡΩΤΗΣΙΣ 80

Τί σημαίνει ἡ κατ᾽ αὐτὸν τὸν Γεδεὼν ἱστορία καὶ ὁ πόκος καὶ ὁ πόλεμος πρὸς τοὺς Μαδιηναίους καὶ τὰ λοιπά;

ΑΠΟΚΡΙΣΙΣ

Ἀγάρ, ἡ παιδίσκη Σάρρας, λαμβάνεται ἐπὶ τῆς αἰσθήσεως· αὐτὴ συλλαμβάνουσα διὰ τῆς φυσικῆς θεωρίας γεννᾷ τὸν φυσικὸν νόμον. Εἰ δὲ κατεξαναστῇ αὐτὴ τοῦ νοὸς ὥσπερ ἐκείνη τῇ Σάρρᾳ—’ἄρχουσα’ δὲ ἡ Σάρρα ἑρμηνεύεται—παρωθεῖται ἡ αἴσθησις καὶ συλλαμβάνει ὁ νοῦς τὸν Ἰσαάκ, τὸν πνευματικὸν νόμον, ἐξ οὗ ὁ Ἰσραήλ, τουτέστιν ‘ὁ νοῦς ὁ τὸν θεὸν ὁρῶν.’ Οὗτος ἐπειδὰν τυραννεῖται ὑπὸ τοῦ Μαδιάμ, τουτέστιν τῆς πορνείας, παραδίδοται κατὰ συγχώρησιν ἑπτὰ ἔτη, τουτέστιν ἐν τοῖς χρονικοῖς καὶ ἐπικαίροις πάθεσιν. «Καὶ ἐποίησαν», φησίν, «οἱ υἱοὶ Ἰσραὴλ ἐν τοῖς ὄρεσιν τρυμαλιὰς καὶ σπήλαια»· πολεμούμενος γὰρ ὁ νοῦς δοκεῖ ἐπινοεῖν κακώσεις καὶ πόνους, ἀλλὰ χωρὶς γνώσεως τούτους ποιῶν ἀνονήτως κοπιᾷ. «Ἔσπειρεν», γάρ φησιν, «ἀνὴρ Ἰσραὴλ καὶ

ἀνέβαινεν Μαδιὰμ καὶ Ἀμαλὶκ καὶ οἱ υἱοὶ ἀνατολῶν καὶ διέφθειρον τὸν καρπὸν τῆς γῆς»· Ἀμαλὶκ (≡14A_124≡> γὰρ ἡ γαστριμαργία καὶ Μαδιὰμ ἡ πορνεία καὶ υἱοὶ ἀνατολῶν ἡ κενοδοξία· διαφθείρουσιν πάντα τὸν σπόρον τῆς καρδίας, ὅνπερ ἄνευ γνώσεως ἐπιτηδεύειν δοκεῖ. «Καὶ οὐχ ὑπελείποντο ὑπόστασιν ζωῆς ἐν τῷ Ἰσραήλ», φησίν, ἐκ ποιμνίου καὶ μόσχου καὶ ὄνου, τουτέστιν ἔκ τε τοῦ λογικοῦ καὶ θυμικοῦ καὶ ἐπιθυμητικοῦ. «Ἀνέβαινον δὲ καὶ αἱ κτήσεις αὐτῶν καὶ αἱ σκηναὶ σὺν τοῖς καμήλοις αὐτῶν ὧν οὐκ ἦν ἀριθμός», τουτέστιν τὰ ποικίλα εἴδη τῶν παθῶν καὶ αἱ μνήμαι αὐτῶν καὶ αἱ φαντασίαι. «Καὶ ἐπτώχευσεν», φησίν, «ὁ Ἰσραὴλ ἀπὸ προσώπου Μαδιὰμ καὶ ἐκέκραξαν πρὸς Κύριον οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐξαπέστειλεν Κύριος ἄνδρα προφήτην»· ἡνίκα γὰρ πτωχεύσει ὁ νοῦς πάσης ἀρετῆς, οἱ δὲ λογισμοὶ τούτου ἐκ μεταμελείας βοήσωσιν πρὸς Κύριον, ἐξαποστελεῖ Κύριος λόγον ἀναμιμνήσκοντα τὴν ἐξ Αἰγύπτου ἄνοδον, τουτέστιν τὴν ἐκ τοῦ σκοτασμοῦ τῶν ἁμαρτιῶν λύτρωσιν. «Καὶ ἦλθεν», φησίν, «ἄγγελος Κυρίου καὶ ἐκάθισεν ὑπὸ τὴν τερέβινθον»—τὸ τοῦ σταυροῦ μυστήριον αἰνιττόμενος—«καὶ ἦν», φησίν, «Γεδεὼν ῥαβδίζων σῖτον ἐν ληνῷ», τουτέστιν τὴν πρακτικὴν μετερχόμενος μετὰ τῆς γνώσεως· τοῦτο γὰρ ἡ ληνὸς τοῦ οἴνου. «Καὶ ὤφθη αὐτῷ ἄγγελος καὶ εἶπεν αὐτῷ· "Κύριος μετὰ σοῦ, δυνατὸς ἰσχύϊ"»· τὸν γὰρ ὑποτάξαντα καὶ δουλωσάμενον τὰ πάθη καὶ τὸ κῦρος διὰ πρακτικῆς καὶ γνώσεως κατ᾽ αὐτὸν ἔχοντα, ἐκ τῶν ἰδιωμάτων αὐτὸν καλεῖ· "Κύριος μετὰ σοῦ". Καὶ δείκνυται τὸ ταπεινὸν τοῦ τοιούτου νοὸς ἐκ τῆς ἀποκρίσεως· εἶπεν γάρ· "Καὶ εἰ ἔστιν Κύριος ἐν ἡμῖν, εἰς τί ηὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα;" «Καὶ εἶπεν πρὸς αὐτὸν ὁ ἄγγελος· "Πορεύου ἐν τῇ ἰσχύϊ σου· ταύτῃ σώσῃς τὸν Ἰσραήλ"», τουτέστιν ἐν τῇ ἰσχύϊ τῆς πράξεως καὶ τῆς γνώσεως. «Καὶ εἶπεν πρὸς τὸν ἄγγελον· "Εἰ εὗρον χάριν ἐν ὀφθαλμοῖς σου, μὴ δὴ κινηθῇς ἐντεῦθεν ἕως τοῦ ἐλθεῖν με πρὸς σέ"». «Καὶ Γεδεὼν εἰσῆλθεν καὶ (≡14A_126≡> ἐποίησεν ἔριφον αἰγῶν καὶ ἔλαβεν οἰφὶ σεμιδάλεως καὶ ἄζυμα καὶ τὰ κρέα ἔθηκεν ἐν τῷ κοφίνῳ καὶ τὸν ζωμὸν ἔθηκεν ἐν τῇ χύτρᾳ καὶ ἐξήνεγκεν πρὸς αὐτὸν ὑπὸ τὴν τερέβινθον καὶ εἶπεν πρὸς αὐτὸν ὁ ἄγγελος· "Λάβε τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην καὶ τὸν ζωμὸν ἔκχεον ἐπ᾽ αὐτῇ». Καὶ ἐποίησεν οὕτως». Ὅτ᾽ ἂν γὰρ νόημα πνευματικὸν καταπεμφθῇ τῷ νῷ καὶ εὕρῃ ὁ νοῦς ἁρμόσαι τῇ τοιαύτῃ γνώσει διὰ τῶν προσφυῶν πράξεων τὰ ἐπιβάλλοντα, οὐκ ἀποκινεῖται ἡ γνῶσις. Τὸ δὲ ἐξενεγκεῖν τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ τὸν ζωμὸν σημαίνει τὴν πρᾶξιν μετὰ τοῦ ἀτύφου περικεχυμένην τῇ γνώσει· τοῦτο γὰρ δηλοῖ ὁ ζωμός. Θεῖναι δὲ ταῦτα πρὸς τὴν πέτραν προστέταχεν· δεῖ γὰρ γνῶσίν τε καὶ πρᾶξιν τῇ εἰς Χριστὸν πίστει συνάπτεσθαι. «Καὶ ἐξέτεινεν ὁ ἄγγελος τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἥψατο τῶν κρεῶν καὶ ἀνέβη πῦρ ἐκ τῆς πέτρας καὶ κατέφαγεν τὰ κρέα καὶ τοὺς ἀζύμους καὶ ὁ ἄγγελος ἀπῆλθεν ἐξ ὀφθαλμῶν αὐτοῦ». Ὅτ᾽ ἂν γὰρ ἡ τοιαύτη πρᾶξις καὶ γνῶσις τῇ πίστει τελειωθῶσιν, τότε τὸ πῦρ τοῦ Πνεύματος φωτεινὰς ἀπεργάζεται ταύτας καὶ ὁ τῆς ἀρχῆς τῆς γνώσεως λόγος συναφίπταται· οὐκέτι γὰρ ὡς τὸ πρότερον

παρέπεται ὑπομιμνήσκων· ὅλῳ γὰρ τῷ φωτὶ τοῦ Πνεύματος ὁ νοῦς ἐγκραθεὶς οὐκέτι τοῖς ἐναρχθεῖσιν προσκάθηται.

Ὁ δὲ πόκος σημαίνει τὴν Ἰουδαϊκὴν λατρείαν· ἐπ᾽ αὐτὴν γὰρ ἐγένετο δρόσος· εἶχεν γὰρ δικαιώματα λατρείας. Εἰς δὲ «πᾶσαν τὴν γῆν ξηρασία»· πάντα γὰρ τὰ ἔθνη ξηρὰ ἐτύγχανον τῆς τοῦ Θεοῦ γνώσεως. Τὸ δὲ ἐκπιάσαι εἰς τὴν λεκάνην τὸ ὕδωρ ἐσήμανεν τὴν μέλλουσαν τοῦ βαπτίσματος χάριν· εἶχεν γὰρ ἡ Παλαιὰ ἐν πολλοῖς τύπους τοῦ ἁγίου βαπτίσματος· οὗτοι οὖν ἐκπιασθέντες ἐν τῇ λεκάνῃ τοῦ βαπτίσματος τὸ κατ᾽ αὐτὸ μυστήριον ἡμῖν ὑπέδειξαν. Τὸ δὲ δευτερῶσαι καὶ ἀνάπαλιν τὸν μὲν πόκον ἔχειν τὴν ξηρασίαν, πᾶσαν δὲ τὴν γῆν δρόσον, ἐσήμαινεν τὴν χάριν τοῦ Εὐαγγελίου· πᾶσα γὰρ ἡ γῆ τῆς εὐαγγελικῆς (≡14A_128≡> ἐπληρώθη δρόσου· κατελείφθη δὲ ξηρὸς πάσης πίστεως ὁ Ἰουδαίων λαός. Εἰς δὲ τὸν καθένα· πόκος ἐστὶν ἡ ἠθικὴ φιλοσοφία ἐκπιεζομένη εἰς τὴν λεκάνην τῆς γνώσεως· τὸ δὲ τὴν γῆν πᾶσαν ἔχειν τὴν δρόσον σημαίνει ὅτι μετὰ τὴν κατόρθωσιν τῆς ἠθικῆς φιλοσοφίας πᾶσα ἡ γῆ τῆς καρδίας πληροῦται θείας γνώσεως. Εἰ δὲ ἐπὶ μόνῃ τῇ τῶν ἠθῶν κατορθώσει δίχα τῆς προσφυοῦς γνώσεως ἐπαίρεταί τις, ὁ τοιοῦτος τὴν μὲν γῆν τῆς ἑαυτοῦ καρδίας ἄνικμον ἔχει, τὴν δὲ ἔξω σκηνὴν ὥσπερ πόκον καλλωπίζων φαίνεται.

Τὸ δὲ ἐξιόντι τῷ Γεδεὼν εἰς τὴν παράταξιν ὑποστρέψαι τὰς δέκα χιλιάδας, σημαίνει τοὺς δειλίᾳ τὸ ἐπίπονον τῆς ἀρετῆς ἀποδιδράσκοντας, προδιδούντων τὰς αἰσθήσεις καὶ τὰς αὐτῶν ἐνεργείας. Αἱ δὲ εἴκοσι χιλιάδες αἱ κύπτουσαι ἐπὶ κοιλίαν καὶ πίνουσαι τόδε τὸ ὕδωρ εἰσὶν οἱ τὰ αἰσθητὰ προδώσαντες μετὰ τῶν αἰσθήσεων· τὰ γὰρ τέσσαρα στοιχεῖα συντιθέμενα ταῖς πέντε αἰσθήσεσιν ἀποτελεῖ τὸν εἴκοσι. Οὗτοι τῇ γῇ προσκυλινδούμενοι, τουτέστιν τῇ γηΐνῃ προσπαθείᾳ ἡττημένοι, τὸ ὕδωρ τῆς γνώσεως πειρῶνται πίνειν· οὓς ὁ λόγος ἀποβλήτους τῆς πνευματικῆς παρατάξεως ὄντας ἀποβάλλεται. Τριακοσίους δὲ μόνον ἐκλέγεται τοὺς λάμψαντας· οὗτοι δέ εἰσιν οἱ σταυρώσαντες ἑαυτοὺς καὶ τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις τῇ ἑκατοντάδι τῆς τελειότητος σώας φυλάξαντες· ἑκατοντὰς γάρ ἐστιν ἡ δεκαπλουμένη τῶν ἐντολῶν δεκάς, ἑκάστης ἐντολῆς τὴν ἑτέραν ἐνπεριεχούσης καὶ σαφέστερον εἰπεῖν ἡ μία δέκα οὖσα· ὅθεν καὶ τῇ Σάρρᾳ προκοψάσῃ προσετέθη τὸ ῥό, δηλοῦντος τοῦ λόγου τὸ κατ᾽ ἀρετὴν αὐτῆς τέλειον. Οὗτοι δὲ λάμπτοντες ταῖς χερσὶν τὸ ὕδωρ πίνουσιν· διὰ γὰρ τῶν πόνων τῆς πράξεως τὸ ὕδωρ ἀρύονται τῆς γνώσεως. Κελεύει δὲ τούτοις ὁ τῆς πνευματικῆς παρατάξεως (≡14A_130≡> στρατηγὸς κρατεῖν ἐν μὲν τῇ ἀριστερᾷ ὑδρίας ἔνδον ἐχούσας λαμπάδας, ἐν δὲ δεξιᾷ κερατίνην, καὶ οὕτως τοῖς πολεμίοις συμπλέκεσθαι, σημαίνων διὰ τούτων ὅτι δεῖ τὸν πρὸς τοὺς ἀοράτους ἐχθροὺς παρατάττεσθαι μέλλοντα διὰ τῆς πρακτικῆς —τοῦτο γὰρ ἡ ἀριστερὰ χείρ—κρατεῖν τὸ σῶμα ἤδη διὰ τῆς ἀσκήσεως ἀποβάλλοντα πᾶσαν παθῶν νοτίδα καὶ ξηρὸν ὀστράκου τάξιν γενόμενον, ἔνδον ἔχον τὸ φῶς τῆς γνώσεως, τῇ δὲ δεξιᾷ, τουτέστιν τῇ θεωρίᾳ, κατέχειν τὴν τοῦ λόγου διδασκαλίαν· αὐτὴ γὰρ ἡ κερατίνη. Τὸ δὲ συντρίβειν τὰς ὑδρίας σημαίνει ὅτι ἡ τελεία νέκρωσις τῆς σαρκὸς καὶ ἡ ταύτης ὑπεροψία ἐκκαλύπτει ἡμῖν τὸ φῶς τῆς γνώσεως.

Τὸ δὲ λέγειν "ῥομφαία τῷ Κυρίῳ καὶ τῷ Γεδεὼν" σημαίνει ὅτι ὁ τὸν λόγον τοῦ Κυρίου τὸν τμητικὸν ἐπιφερόμενος μετὰ καὶ τῆς ἰδίας σπουδῆς, ἀναιρεῖ τὰ πάθη. Τὸ δὲ ἐνύπνιον ὅπερ εἶδον οἱ Μαδιηναῖοι δηλοῖ ὅτι ἡνίκα ἄρξηται ὁ νοῦς τῇ ἀσκήσει ἑαυτὸν ἐκδιδόναι καὶ κακουχεῖν τὸ σῶμα, τεκμαίρονται οἱ τῆς πορνείας δαίμονες ὥσπερ δι᾽ ἐνυπνίου ὅτι "εἰ ἐξισχύσει ἐπεκτεῖναι ἑαυτὸν ὁ νοῦς τῇ τοιαύτῃ ἀσκήσει, ἀποκτέννει ἡμᾶς»· μαγὶς γὰρ κριθίνη κυλιομένη, τουτέστιν ἄσκησις

προβαίνουσα, καταστρέφει τὰς σκηνὰς τῶν ἀλλοφύλων, τὰ συστατικὰ δηλαδὴ τῶν δαιμόνων πάθη.

ΕΡΩΤΗΣΙΣ 81

Τί ἐστιν τὸ πρὸς τοὺς ἀποστόλους ἀπὸ τοῦ Κυρίου εἰρημένον τὸ «ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος»;

ΑΠΟΚΡΙΣΙΣ

Αὐτὸς ὁ Κύριος λέγεται μεθ᾽ ἡμῶν εἶναι ἐν τῷ νῦν αἰῶνι, (≡14A_132≡> ἐν δὲ τῷ μέλλοντι οἱ ἅγιοι μετ᾽ αὐτοῦ ἔσονται, τῇ χάριτι θεωθέντες.

ΕΡΩΤΗΣΙΣ 82

Τί σημαίνει ἡ Ἰεριχὼ καὶ τίς ὁ Ἀχὰρ ὁ κλέψας ἐκ τοῦ ἀναθέματος καὶ διατί ὁ μὲν Θεὸς καῆναι αὐτὸν προστάσσει, ὁ δὲ Ἰησοῦς ἐλιθοβόλησεν αὐτόν;

ΑΠΟΚΡΙΣΙΣ

Ὅστις εἰς παράταξιν θείαν καταλεγεὶς κυκλοῖ τὴν Ἰεριχὼ ἑπτὰ περιόδοις σαλπίζων, τουτέστιν διοδεύων τὸν ἑβδοματικὸν τοῦ χρόνου τούτου αἰῶνα τῇ σάλπιγγι τοῦ Εὐαγγελίου, διδάσκεται πάντα τὰ τοῦ αἰῶνος τούτου τῷ Θεῷ ἀνατιθέναι. Ὅστις δὲ νοσφίσηται γλῶσσαν καὶ κρύψει ἐν τῇ γῇ, τουτέστιν τὸν λόγον ἐν τῇ γηΐνῃ τοῦ κόσμου σοφίᾳ, ἢ καὶ ψιλήν—ὅπερ ἐστὶν ἱμάτιον—τουτέστιν τὸ ἦθος πρὸς ἀρέσκειαν τῶν θεωμένων ἐξασκῶν, καὶ διακοσίους χρυσοῦς, τουτέστιν τὰ αἰσθητὰ πάντα μετὰ τῶν αἰσθήσεων, οὕστινας χρυσοῦς ἐν τῇ γῇ τῆς ἰδίας σαρκικῆς ἀπολαύσεως κατακρύψας, οὗτος ὑπὸ τοῦ στρατηγοῦντος λόγου πρῶτον μὲν ἐπ᾽ αὐτῷ πυρὸς δίκην ζέσαντος, ἔπειτα δὲ καὶ θείοις λόγοις οἱονεὶ λίθοις βαλλόμενος ἀποκτέννυται.

ΕΡΩΤΗΣΙΣ 83

Περὶ διαφόρων θελημάτων Θεοῦ.

ΑΠΟΚΡΙΣΙΣ

Τρία θελήματα ἐπὶ Θεοῦ χρὴ ὑπολαμβάνειν, κατ᾽ εὐδοκίαν, κατ᾽ οἰκονομίαν, κατὰ συγχώρησιν. Καὶ τὸ μὲν κατ᾽ εὐδοκίαν δηλοῖ τὰ κατὰ τὸν Ἀβραάμ, λέγοντα πρὸς αὐτὸν "ἔξελθε (≡14A_134≡> ἐκ τῆς γῆς σου"· τὸ δὲ κατ᾽ οἰκονομίαν δηλοῖ τὰ κατὰ τὸν Ἰωσὴφ οἰκονομηθέντα πρὸς τὴν τῶν μελλόντων ἔκβασιν· τὸ δὲ κατὰ συγχώρησιν δηλοῖ τὰ κατὰ τὸν Ἰὼβ γενόμενα.

ΕΡΩΤΗΣΙΣ 84

Τί ἐστιν· «μὴ μακαρίσῃς ἄνδρα πρὸ τελευτῆς αὐτοῦ»;

ΑΠΟΚΡΙΣΙΣ

Καὶ κατὰ τὸν πρόχειρον τῶν πολλῶν νοῦν, διὰ τὸ ἄδηλον καὶ τὸ τῆς ἀνθρωπίνης προαιρέσεως εὐόλισθον, οὐ χρὴ μακαρίζειν τινὰ μέχρις διὰ πάσης ἀρετῆς διελθὼν ἀναντιρρήτῳ τέλει τὴν ζωὴν κατακλείσει. Πρὸς δὲ τὸν ὑψηλότερον νοῦν, ὁ ἀρξάμενος διὰ τῆς μετανοίας καὶ ἀσκήσεως τὸ ζῶν ἐν αὐτῷ γήϊνον φρόνημα ταπεινοῦν καὶ ἀσθενῆ ποιεῖν οὔπω μακαριστὸς μέχρις ἂν διὰ τοῦ συντόνου τῆς ἀσκήσεως πόνου νεκρωθῇ καὶ συντέλειαν λάβῃ· ὁ γὰρ τοιοῦτος μακάριος, ὡς τῷ Χριστῷ συναποθανὼν διὰ τῆς τῶν κακῶν ἀπραξίας καὶ συνανιστάμενος πάλιν διὰ τοῦ ὕψους τῶν ἀρετῶν. Τοῦτο γὰρ καὶ ὁ ψαλμῳδὸς σημαίνει λέγων "μακάριοι οἱ

ἄμωμοι ἐν ὁδῷ", οἱ καθαροὶ δηλονότι κακίας, "οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου", οἱ διὰ τῶν ἀγαθῶν πράξεων ὁδεύοντες.

ΕΡΩΤΗΣΙΣ 85

Τί σημαίνει ὁ ψαλμῳδὸς περὶ ἐχθρῶν λέγων "τῶν κύκλῳ συνεπιτιθεμένων";

ΑΠΟΚΡΙΣΙΣ

Τὸ κύκλῳ ἐστὶν τὸ ἐμπρός, τὸ ὀπίσω, τὸ δεξιόν, τὸ ἀριστερόν. (≡14A_136≡> Ἐπιτίθενται οὖν ἡμῖν οἱ δαίμονες ἔμπροσθεν μὲν ὅτ᾽ ἂν διὰ τῶν τῆς ὕλης ἐπιφανειῶν δελεάζουσιν, ὀπίσω δὲ ὅτ᾽ ἂν διὰ τῶν προλήψεων τῶν λογισμῶν τῆς κακίας τὴν μνήμην ἀνακινοῦσιν, ἀριστερὰ δὲ ὅτ᾽ ἂν διὰ τῶν σαρκικῶν καὶ ἀκολάστων παθῶν τὴν ψυχὴν ἐκμοχλεύουσιν, δεξιὰ δὲ ὅτ᾽ ἂν διὰ κενοδοξίας καὶ ὑπερηφανίας τῇ ψυχῇ ἐπιτίθενται.

ΕΡΩΤΗΣΙΣ 86

Τί ἐστιν· «λάβετε ψαλμὸν καὶ δότε τύμπανον»;

ΑΠΟΚΡΙΣΙΣ

Λάβετε διδασκαλίαν ἔνθεον καὶ δότε πρᾶξιν ἐνάρετον διὰ τῆς νεκρώσεως τοῦ σώματος.

ΕΡΩΤΗΣΙΣ 87

Τί ἐστιν στοιχείωσις;

ΑΠΟΚΡΙΣΙΣ

Τρία φασὶν λέγεσθαι σώματα· πρῶτον μὲν τὸ τῶν τεσσάρων στοιχείων, πυρός, ὕδατος, γῆς, ἀέρος· εἶτα ἐκ τούτων δεύτερα σώματα, πάντα τὰ φυόμενα δένδρα τε καὶ λαχανηρά· ἐκ τούτων δὲ τρίτον σῶμα τὸ ἀνθρώπινον καὶ τὸ τῶν ἀλόγων· ταῦτα γὰρ τρώγοντες γίνονται σάρκες. Ὥσπερ οὖν ἀρχὴ καὶ στοιχείωσίς ἐστιν τῶν ἡμετέρων σωμάτων τὰ τέσσαρα στοιχεῖα, οὕτως καὶ τῆς ψυχῆς ἡ ἐκ τῶν τεσσάρων γενικῶν ἀρετῶν στοιχείωσις καὶ ἀρχὴ ποιεῖ τὴν τῶν ἠθῶν κατόρθωσιν· εἶτα ἐξ αὐτοῦ οἱονεὶ δεύτερον σῶμα ἡ ἕξις τῶν ἀρετῶν· εἶτα ἀπὸ ταύτης σωματοποιεῖται ἡ γνῶσις ἤτουν θεωρία· «πρᾶξις γὰρ ἐπίβασις θεωρίας».

(≡14A_138≡> **ΕΡΩΤΗΣΙΣ 88**

Τί σημαίνει ἡ τῷ Ἰακὼβ ὀφθεῖσα κλῖμαξ καὶ τίνες οἱ καταβαίνοντες καὶ ἀναβαίνοντες ἄγγελοι;

ΑΠΟΚΡΙΣΙΣ

Κλίμακα οἰόμεθα εἶναι τὴν εἰς Θεὸν εὐσέβειαν. Ἄγγελοι δὲ κατερχόμενοι καὶ ἀνερχόμενοι· ἀνερχόμενοι μὲν οἱ τῶν ἀρετῶν λόγοι δι᾽ ἡμῶν ὑψούμενοι, κατερχόμενοι δὲ οἱ διὰ τὴν τῶν ἀρετῶν ἡμῶν ὕψωσιν κατιόντες τῆς γνώσεως λόγοι.

ΕΡΩΤΗΣΙΣ 89

Τί σημαίνει τὸ δηνάριον τὸ ἐπιδιδόμενον τῷ Κυρίῳ ὑπὸ τῶν Φαρισαίων;

ΑΠΟΚΡΙΣΙΣ

Δηνάριόν ἐστιν ὁ κατὰ συγχώρησιν δεδομένος τῆς χρείας τοῦ σώματος νόμος· δεῖ οὖν προσαγόντων ἡμῖν τοῦτον τῶν εἰς τύπον τῶν δαιμόνων ὄντων Φαρισαίων κρατεῖν καὶ ἐξετάζειν διὰ τῆς διακρίσεως καὶ τῇ μὲν φύσει ἀπονέμειν τὰ τῆς χρείας—τοῦτο γάρ ἐστιν δοῦναι τὰ Καίσαρος τῷ Καίσαρι—, τὴν δὲ πᾶσαν τῆς ψυχῆς ἔφεσιν ἀπονεῖμαι τῷ Θεῷ.

ΕΡΩΤΗΣΙΣ 90

Τί δηλοῖ τὸ «ἐὰν διώκουσιν ὑμᾶς ἀπὸ ταύτης τῆς πόλεως, φεύγετε εἰς τὴν ἄλλην»;

ΑΠΟΚΡΙΣΙΣ

Αἱ πόλεις ἐπὶ φρουρᾶς καὶ ἀσφαλείας καὶ φυλακῆς τιμίων εἰσίν· πόλις οὖν ἐστιν κατὰ τὸν τῆς ἀλληγορίας τρόπον ἡ ἐκ διαφόρων τρόπων ἐπινοουμένη ἄσκησις, οἷον, ἐγκράτεια οἴνου, βρωμάτων ἀποχή, ἐπιτεταμένη ἀγρυπνία καὶ τὰ τοιαῦτα, ἅτινά (≡14A_140≡> εἰσιν φρουρὰ καὶ ἀσφάλεια. Ἐὰν οὖν διώκουσιν ἡμᾶς οἱ δαίμονες ἀπὸ ἑνὸς τούτων, τύφον ἢ κενοδοξίαν διὰ τοῦ τοιούτου τῆς ἀσκήσεως εἴδους προσάγοντες, κρεῖττόν ἐστιν ὑποχωρεῖν τῆς τοιαύτης δοκούσης εἶναι ἀκριβεστέρας ἀγωγῆς, ἵνα μὴ εἰς ὑπερηφανίαν ἐμπέσῃς, καὶ φυγεῖν εἰς ἄλλην ἀκενόδοξον ἀρετὴν μέχρις ἂν ὁ τῆς ἀπαθείας ἔλθῃ λόγος.

Ἢ καὶ ἄλλως· πόλεις λέγει τὰς ἀνθρωπίνας ψυχάς· ἐπὶ γὰρ ταύτας οἱ ἀπόστολοι λόγοι παρὰ τοῦ Σωτῆρος πεμπόμενοι, ἀπὸ μὲν τῶν ἀξίων ὑποδεχθέντες ἐν αὐτοῖς οἰκοῦσιν, ἀπὸ δὲ τῶν ἀναξίων ἑαυτοὺς κρινάντων ἀπελασθέντες εἰς ἑτέρων ψυχὰς μετοικίζονται, δεκτικὰς τῆς αὐτῶν διδασκαλίας γεγενημένας. Καὶ τὰς τοιαύτας πόλεις τοῦ Ἰσραὴλ οὐ μὴ τελέσωσιν ἀληθῶς ἐνδημοῦντες αὐταῖς καὶ πῇ μὲν εἰσοικιζόμενοι, πῇ δὲ ἀπ᾽ αὐτῶν διωκόμενοι, ἕως ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου κατὰ τὴν ἔνδοξον αὐτοῦ παρουσίαν τὰ πάντα πληρῶν.

ΕΡΩΤΗΣΙΣ 91

Τί ἐστιν· «κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ κατὰ μίμησιν τοῦ Κυρίου συμπαθείας λόγῳ χρώμενος, οὔτε τὸν τῇ ἁμαρτίᾳ συντετριμμένον τῇ ἀπογνώσει εἰς τέλος κατεαγῆναι ποιεῖ, οὔτε τὸν τὸ λογιστικὸν ἔχοντα τετυφωμένον διὰ κενοδοξίαν τινῶν ἀρετῶν σβέννυσιν, ἀλλ᾽ ἐᾷ ἔχειν τὴν προθυμίαν μέχρις ἂν εἰς τὸ τέλειον ἔλθοι τῆς ἐπιγνώσεως. Τοῦτο γάρ ἐστιν, ὡς οἶμαι, καὶ τὸ συναυξάνειν τῷ ἀγαθῷ σπόρῳ τὰ ζιζάνια, τουτέστιν ταῖς ἀρεταῖς τὸ τῆς ἀνθρωπαρεσκείας καὶ κενοδοξίας (≡14A_142≡> πάθος συναναβλαστάνειν. Ὅθεν ὁ τῶν ψυχῶν γεωργὸς μὴ ἐκτίλλεσθαι ταῦτα προστάσσει μέχρι ἂν αἱ ἀρεταὶ λάβωσιν πῆξιν, μήποτε ἀνασπάσαι τὰ τοιαῦτα πάθη θέλων τις, συνεκτίλῃ τὴν τῆς ἀρετῆς προθυμίαν.

ΕΡΩΤΗΣΙΣ 92

Τί δηλοῖ τὸ προφητικὸν αἴνιγμα "σαλπίσατε" λέγων "ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν"; Τίς ἄρα ἡ εὔσημος ἑορτή;

ΑΠΟΚΡΙΣΙΣ

Τοὺς διδασκάλους τῆς Ἐκκλησίας σαλπίζειν διὰ τοῦ λόγου τῆς διδασκαλίας ὁ Λόγος παρακελεύεται· σάλπιγγι δὲ σαλπίζειν, τουτέστιν τῇ νεκρώσει τοῦ σώματος· ἐν νεομηνίᾳ δὲ τῇ κατὰ τὴν σελήνην· μὴν γὰρ ἡ σελήνη λέγεται. «Εὔσημος» δὲ «ἑορτὴ» κατὰ τοὺς Ἰουδαίους τῷ ἑβδόμῳ μηνὶ ἐπετελεῖτο ἡ τῶν σαλπίγγων· τῇ δεκάτῃ δὲ τοῦ αὐτοῦ μηνὸς τὴν νηστείαν τοῦ Ἱλασμοῦ καὶ τῇ πεντεκαιδεκάτῃ τὴν Σκηνοπηγίαν ἐπετέλουν. Ἡμεῖς δὲ πνευματικῶς ἑορτάζομεν οὕτως, τῷ μὲν ἑβδόμῳ μηνί, τουτέστιν τῷ

ἑβδόμῳ τῆς χάριτος νόμῳ τὴν εὔσημον τοῦ Εὐαγγελίου ἡμέραν ἐπιτελοῦντες· ἑπτὰ γὰρ νόμους ὁ τῶν ὅλων Θεὸς ἐξαρχῆς τῇ φύσει παρέσχετο· τῷ μὲν Ἀδὰμ δύο, τὸν πρὸ τῆς παραβάσεως ἀπὸ τοῦ καρποῦ τοῦ δένδρου μὴ φαγεῖν καὶ τὸν μετὰ τὴν παράβασιν «ἐν ἱδρῶτι τοῦ προσώπου» τὸν ἄρτον ἐσθίειν, τρίτον τὸν ἐπὶ τοῦ Νῶε, τέταρτον τὸν ἐπὶ τοῦ Ἀβραάμ, τὸν τῆς περιτομῆς, πέμπτον τὸν Μωσέως, ἕκτον τὸν προφητικόν, ἕβδομον τὸν εὐαγγελικόν, ἐν ᾧ τὰς ἀπαρχὰς τῶν καρπῶν τῆς ἀρετῆς κατὰ τὴν ἀρχὴν τῶν φωτισμῶν τῷ Θεῷ προσάγομεν· τῇ γὰρ πρώτῃ τοῦ μηνὸς τὰς ἀπαρχὰς τῶν καρπῶν οἱ κατὰ νόμον προσῆγον. Τῇ δεκάτῃ δὲ τοῦ μηνὸς τὴν νηστείαν (≡14A_144≡> τοῦ Ἱλασμοῦ τελοῦμεν διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ τοῦ γενομένου ἡμῶν ἱλασμοῦ μυσταγωγούμενοι, νηστεύοντες ἀπὸ πάσης κακίας· τῇ δὲ πεντεκαιδεκάτῃ τὴν σκηνοπηγίαν ἄγομεν· προστιθέντες γὰρ τῷ κατὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν μυστηρίῳ τὰς πέντε τῆς ψυχῆς ἀντιλημπτικὰς δυνάμεις, εἰς μηδὲν τῶν αἰσθητῶν ἀσχολουμένας ἀλλ᾽ αὐτῷ συνημμένας τῷ Κυρίῳ, τὴν πῆξιν ἐν αὐτῷ λαμβάνομεν τῶν ἀρετῶν.

ΕΡΩΤΗΣΙΣ 93

Ἐκ τῶν Ἠθικῶν τοῦ ἁγίου Βασιλείου ἄπορον ἐν τῷ 'Περὶ νηστείας' λόγῳ· «ὅτε», φησίν, «ἀπεγνώσθη ἡ τελείωσις, τότε συνεχωρήθη ἡ ἀπόλαυσις».

ΑΠΟΚΡΙΣΙΣ

Τότε ἀπεγνώσθη ἡ τελείωσις, ὅτε τὰς δοθείσας αὐτῷ φυσικὰς δυνάμεις ὁ ἄνθρωπος διὰ τῆς παρακοῆς παρέτρεψεν. Ἀδύνατον οὖν ἦν ἐνσχεθεῖσαν τὴν φύσιν τῇ ὑλικῇ προσπαθείᾳ ἐπανελθεῖν εἰς τὸ τέλειον μέχρις ὁ τῆς φύσεως ποιητής, ὑπὲρ φύσιν γενόμενος ἄνθρωπος, τὴν φύσιν εἰς τὸ κατὰ φύσιν ἐπανήγαγεν. Συγχωρηθῆναι δὲ τὴν ἀπόλαυσιν λέγει ἀντὶ τοῦ παραδοθῆναι τῇ αὐτονομίᾳ τῆς πλάνης.

ΕΡΩΤΗΣΙΣ 94

Τοῦ αὐτοῦ ἐκ τοῦ πρώτου ψαλμοῦ· τίνος χάριν ἐπὶ τῆς ἀρχῆς τῶν ψαλμῶν παράδειγμα ἔλαβεν οἴκου θεμέλια καὶ τρόπιν πλοίου καὶ ζῴου καρδίαν;

(≡14A_146≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἐπειδὴ ὁ οἶκος ἀπὸ λίθων συγκείμενος ἀποφυγὴ μὲν ψύχους καὶ καύσωνος γίνεται, ἔτι δὲ σκέπη καὶ φυλακὴ τοῦ ἀνθρώπου, ἐκ τούτου μανθάνομεν, ἑπόμενοι τῇ φυσικῇ θεωρίᾳ, οἶκον εἶναι τὴν ἄσκησιν ἐκ τῶν κατὰ τὴν ἀρετὴν συγκειμένην λόγων, σκέπην μὲν παρέχουσαν ἡμῖν ἀπὸ τοῦ διαβολικοῦ τῶν πειρασμῶν καύσωνος, θέρμην δὲ ἀπὸ τῆς αὐτοῦ κατὰ τὴν ἀπόγνωσιν ψύξεως, φυλακὴν δὲ ἀπὸ τῶν ἐπιβουλευόντων δαιμόνων. Πλοῖον δὲ ἔλαβεν τὴν ἑκάστου ψυχήν, οἷόν τινα τρόπιν τὴν κατὰ τὴν φρόνησιν ἔχουσαν πῆξιν, σανίδας δὲ προσηρτημένας, τὴν τοῦ σώματος νέκρωσιν, τῇ ἀκριβείᾳ οἷον ἀσφάλτῳ τὰς ἁρμονίας τῆς ψυχῆς ἀσφαλίσασαν καὶ μὴ συγχωροῦσαν εἰσδῦναί τι τῆς ἁλμώδους κακίας, ἐπιπορευομένην δὲ τὴν θάλασσαν τοῦ βίου καὶ διαπορευομένην τὸν αἰῶνα τοῦτον, ἐμπόρου τρόπον τὰ παρόντα διδοῦσαν καὶ

ἀντικτωμένην τὰ μέλλοντα. Καρδίαν δὲ ζῴου ἔλαβεν τὴν πίστιν, περιυφαινομένην πάντοθεν διὰ τῶν ἀρετῶν.

ΕΡΩΤΗΣΙΣ 95

Ἐκ τοῦ 'Εἰς τὸ Βάπτισμα' λόγου τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἄπορον προφητικῆς λέξεως· «μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ καὶ πᾶσαν ψυχὴν αὔριον ἀρουμένην καὶ ἀρδομένην, ἣν σήμερον βοῦς καὶ ὄνος πατεῖ».

ΑΠΟΚΡΙΣΙΣ

Τὴν ἀρουμένην μὲν διὰ τῆς πρακτικῆς καὶ τὰς ἀκάνθας τῶν παθῶν καθαιρομένην, ἀρδομένην δὲ διὰ τῆς γνώσεως ψυχήν, ἣν ἐπάτει σήμερον βοῦς καὶ ὄνος—βοῦν τὸν Ἰουδαϊκὸν νόμον λέγων, ὄνον δὲ τὴν ἐθνικὴν μερίδα—τουτέστιν τὴν τῷ γράμματι (≡14A_148≡> ἐμμένουσαν καὶ τῇ ἀλογίᾳ πιεζομένην σήμερον, αὔριον δὲ μεταβληθεῖσαν διὰ πράξεως καὶ γνώσεως· εἰς ἣν ὁ σπείρων τὰ τῆς ἀρετῆς σπέρματα μακάριος.

ΕΡΩΤΗΣΙΣ 96

Ἐκ τοῦ αὐτοῦ· «μακάριος ὃς κἂν χειμάρρους ᾖ σχοίνων ἐξ οἴκου Κυρίου ποτίζεται».

ΑΠΟΚΡΙΣΙΣ

Χειμάρρους σχοίνων ἐστὶν ἡ σὰρξ ἡ τῷ χειμῶνι τῶν παθῶν παρασύρουσα τὰς τῆς ψυχῆς δυνάμεις καὶ σχοίνων δίκην τῇ τῶν ἁμαρτημάτων τραχύτητι πλήττουσα. Ἐξ οἴκου δὲ Κυρίου ποτίζεται ὅτ᾽ ἂν ἐκ τῶν ἐντολῶν τοῦ Κυρίου, τοῦ τὴν ἡμετέραν σάρκα ἀναλαβόντος, ἐξ ἧς ἐν τῇ ὁδῷ τοῦ βίου γενόμενος ἔπιεν τὸ ὑπὲρ ἡμῶν πάθος καὶ γέγονεν ἡμῖν εἰς οἶκον καταφυγῆς, ἀρδεύεται.

ΕΡΩΤΗΣΙΣ 97

Ἐκ τοῦ αὐτοῦ· «χθὲς ἐξηραίνου θάλλουσα τῇ αἱμορροίᾳ· ἐπήγαζες γὰρ τὴν φοινικῆν ἁμαρτίαν».

ΑΠΟΚΡΙΣΙΣ

Χθές, φησίν, ἐξηραίνου τῇ ἀρετῇ, ἔθαλλες δὲ τῇ ἁμαρτίᾳ· σήμερον ἀνέθηλας τῇ ἀρετῇ, ξηρανθεῖσα τῇ ἁμαρτίᾳ· «ἥψω γὰρ τῶν κρασπέδων Χριστοῦ»· κράσπεδά εἰσιν τοῦ Χριστοῦ αἱ διάφοροι ἀσκήσεις, ἐπειδὴ καθάπερ ἐκ τοῦ ἐνδύματος τὰ κράσπεδα, οὕτως αἱ ἀσκήσεις ἐκ τῆς ἠθικῆς ἤρτηνται φιλοσοφίας· αἵτινες (≡14A_150≡> μετὰ ταπεινοφροσύνης γινόμεναι ἱστᾶν πεφύκασιν τὴν τῶν παθῶν ῥύσιν.

ΕΡΩΤΗΣΙΣ 98

Ἐκ τοῦ αὐτοῦ· «χθὲς ἐπὶ κλίνης ἔρριψο παρειμένος καὶ λελυμένος» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΙΣ

Κλίνην τὴν ἀνάπαυσιν λέγει τοῦ σώματος, παρειμένον δὲ ταῖς ἡδοναῖς. «Καὶ οὐκ εἶχες», φησίν, «ἄνθρωπον», τουτέστιν ἀνδρεῖον λογισμόν, «ἵνα ὅτ᾽ ἂν ταραχθῇ τὸ ὕδωρ, βάλῃ σε εἰς τὴν κολυμβήθραν», ὅτ᾽ ἂν ἐν σοὶ γένηται λογισμὸς ταράσσων πρὸς διάκρισιν τοῦ καλοῦ καὶ τοῦ χείρονος, ἐμβάλῃ σε εἰς τὸ τῆς καθάρσεως ὕδωρ. «Σήμερον ηὗρες ἄνθρωπον τὸν αὐτὸν καὶ Θεόν»· ὅτ᾽ ἂν γάρ τις τῇ διδασκαλίᾳ χρώμενος καθαίρει, Θεὸς μέν ἐστιν ὁ ἐνεργῶν, ἄνθρωπος δὲ ᾧτινι ὀργάνῳ κέχρηται πρὸς σωτηρίαν τοῦ κάμνοντος. «Ἤρθης ἀπὸ κραβάτου, μᾶλλον δὲ ἦρας τὸν

κράβατον», τουτέστιν διὰ τῆς πρακτικῆς ἐβάστασας τὸ σῶμα, μηκέτι κατασπασθεὶς ὑπ᾽ αὐτοῦ.

ΕΡΩΤΗΣΙΣ 99

Ἐκ τοῦ αὐτοῦ· «οἶδα πῦρ οὐ καθαρτήριον ἀλλὰ κολαστήριον ἢ Σοδομιτικόν, ὃ πᾶσιν ἁμαρτωλοῖς ἐπιβρέχει θείῳ καὶ καταιγίδι μιγνύμενον, ἢ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἥτε ὃ πρὸ προσώπου Κυρίου πορεύεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ, ἢ τὸ τούτων φοβερώτερον, ὃ τῷ ἀκοιμήτῳ (≡14A_152≡> σκώληκι συντέτακται, μὴ σβεννύμενον ἀλλὰ διαιωνίζον τοῖς πονηροῖς».

ΑΠΟΚΡΙΣΙΣ

Ἐκείνοις ἐπιβρέχεται «Σοδομιτικὸν πῦρ», τοῖς τὸν νόμον τῆς φύσεως τῇ παραχρήσει πατήσασιν· ἔστιν δὲ τοῦτο ὁ τῆς συνειδήσεως ἔλεγχος, ὅτ᾽ ἂν πυρὸς δίκην ταύτην κατακαίει. Θεῖον δέ ἐστιν αἱ διάφοροι περιστατικαὶ συμβάσεις, καταιγίδες δὲ αἱ ἀθρόαι περιστάσεις, αἵτινες μιγνύμεναι σφοδροτέρως ἀλγυνοῦσιν. Ἐκεῖνοι δὲ τὴν συνείδησιν καίονται κατὰ μίμησιν τοῦ διαβόλου καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὅσοι διὰ τῆς ὑπερηφανίας φθονερῶς τὴν τοῦ Θεοῦ πρόνοιαν διαβάλλουσιν καὶ τῇ πρὸς τὸν πλησίον κέχρηνται ἀπάτῃ. Τὸ δὲ «ὃ πρὸ προσώπου Κυρίου πορεύεται» φλογίζον «τοὺς ἐχθροὺς αὐτοῦ» πῦρ ἐστιν αἱ τοῦ Θεοῦ ἐνέργειαι· αὗται γὰρ χαρακτηρίζουσιν τὸ τοῦ Θεοῦ πρόσωπον, οἷον, τὸ ἀγαθόν, τὸ φιλάνθρωπον, τὸ πρᾶον καὶ τὰ τούτοις ὅμοια· αἵτινες τοὺς μὲν οἰκείως ἔχοντας πρὸς αὐτὰ φωτίζουσιν, τοὺς δὲ ἐναντίως ἔχοντας καὶ ἀπηλλοτριωμένους τῆς ὁμοιότητος φλέγουσιν. Καὶ ταῦτα μὲν τὰ εἴδη τοῦ πυρὸς οὐκ εἶπεν διαιωνίζειν, διότι κατὰ τὸν Νύσσης Γρηγόριον δεῖ τὴν φύσιν τὰς ἰδίας ἀπολαβεῖν δυνάμεις καὶ τῇ ἐπιγνώσει ἀποκαταστῆναι εἰς ὅπερ γέγονεν ἐξαρχῆς, ὥστε τὸν Δημιουργὸν ἀναίτιον ἀποδειχθῆναι τῆς ἁμαρτίας. Ἐκεῖνο δὲ φοβερώτερον εἶπεν τὸ πῦρ, ὃ τῷ αἰωνίῳ σκώληκι συντέτακται, μὴ σβεννύμενον ἀλλὰ καὶ διαιωνίζον τοῖς πονηροῖς· ὅπερ, φαινομένου τοῦ θείου καὶ εἰς ἀπόλαυσιν προκειμένου τοῖς ἀξίοις, τοὺς μὴ διὰ τῶν ἀγαθῶν ἔργων ἑαυτοὺς λαμπρύνοντας, δίκην σκώληκος ἀεὶ τὴν μνήμην ἀνακινούσης, καὶ ἀναλογιζομένους τὴν ἀποτυχίαν καὶ στέρησιν τοῦ ἀγαθοῦ ἀπεράντως κατεσθίει καὶ βασανίζει διηνεκῶς πυρὸς σφοδρότερον.

(≡14A_154≡> ΕΡΩΤΗΣΙΣ 100

Ἐκ τοῦ αὐτοῦ εἰς τὸν 'Περὶ χαλάζης' λόγον εἰς τὸ «οὐ δέχομαι πηγὴν φράσσεσθαι καὶ χειμάρρουν φέρεσθαι».

ΑΠΟΚΡΙΣΙΣ

Πηγή ἐστιν ἡ εὐαγγελικὴ διδασκαλία, ἀεὶ διὰ πίστεως βλύζουσα, χείμαρρος δὲ ἡ ἔξω φιλοσοφία, ἐν μόνῳ τῷ λόγῳ τὸ πειθανὸν ἔχουσα. Καὶ ἄλλως· πηγή ἐστιν ὁ τῷ λόγῳ τὸν βίον ἔχων συμφωνοῦντα, χείμαρρος δὲ ὁ ἄπρακτος λόγος, ἐν μόνῃ τῇ προφορᾷ τὴν ἀκοὴν γοητεύων. Ἢ καὶ ἄλλως· πηγή ἐστιν ὁ κατὰ τὸν νοῦν τῶν ἐγκειμένων τοῖς μανθάνουσιν τὴν παράδοσιν ποιούμενος, χείμαρρος δὲ ὁ κατὰ τὸ γράμμα διδάσκων.

ΕΡΩΤΗΣΙΣ 101

Ἐκ τοῦ αὐτοῦ· «περὶ τῶν δικαίων τοῦ Θεοῦ κριμάτων, ἐάν τε καταλαμβάνωμεν ἡμεῖς, ἐάν τε ἀγνοῶμεν τὴν πολλὴν ἄβυσσον».

ΑΠΟΚΡΙΣΙΣ

Ἄβυσσος λέγεται ἡ ἀκαταληψία ἡ ἐκ τοῦ βύειν ἤγουν ἐκ τοῦ φράσσειν, κατὰ τὸ εἰρημένον ἐν τῷ ψαλμῷ περὶ τῆς βυούσης τὰ ὦτα ἀσπίδος ἀντὶ τοῦ "τῆς φραττούσης"· ὡς οὖν πρὸς ἡμᾶς τοὺς μὴ δυναμένους ἐν περιλήψει γενέσθαι τῆς τὰ κρίματα βλυζούσης προνοίας εἰσὶν ἀκατάληπτα, κατ᾽ ἄλλον δὲ τρόπον ληπτά.

ΕΡΩΤΗΣΙΣ 102

Ἐκ τοῦ αὐτοῦ· «πῶς καὶ ἡ ἐλεημοσύνη εἰς σταθμοὺς (≡14A_156≡> κατὰ τὸν ἅγιον Ἡσαΐαν; οὐδὲ γὰρ τὸ ἀγαθὸν ἄκριτον, εἰ καὶ τοῖς ἐν τῷ ἀμπελῶνι ἔδοξεν».

ΑΠΟΚΡΙΣΙΣ

Ἐὰν σταθμίζεται ἡ ἐλεημοσύνη τοῦ Θεοῦ, καὶ περιγράφεται εἰκότως. Μᾶλλον οὖν τοῦτο χρὴ ὑπολαμβάνειν, ὅτι ὥσπερ ἔχομεν δύναμιν ὀπτικὴν καὶ ἀκουστικὴν καὶ ἀναπνευστικὴν οὐχ ὅλον εἰσδεχομένας τὸν ἀέρα ἢ τὸ φῶς ἢ τὴν φωνήν— ἐπεὶ οὐκ ἂν ἄλλῳ ὑπελείφθη ἡ ἐκ τούτων μετοχή—ἀλλὰ κατὰ τὴν ἀναλόγως προσοῦσαν δύναμιν ἑκάστῳ μετέχει, οὕτως καὶ ἡ τοῦ Θεοῦ ἐλεημοσύνη κατὰ τὴν ἑκάστου τῶν ὑποκειμένων διαθέσεων ποιότητα καὶ τὴν ἄφεσιν καὶ τὴν χάριν δίδωσιν· οἷον, τελείως τις μετενόησεν, τελείως καὶ ἀφίεται· μερικῶς μετενόησεν, μερικῶς καὶ ἀφίεται· ὡσαύτως καὶ ἐπὶ τοῦ ἀγαπῶντος.

ΕΡΩΤΗΣΙΣ 103

Ἐκ τοῦ αὐτοῦ· «καὶ ἡ ὀργὴ κατὰ λόγον τῶν ἁμαρτημάτων καὶ ποτήριον ἐν χειρὶ Κυρίου προσαγορευομένη καὶ κόνδυ πτώσεως ἐκπινόμενον, εἰ καὶ πᾶσιν ὑφαιρεῖ τι τῆς ἀξίας καὶ τὸ τῆς ὀργῆς ἄκρατον φιλανθρωπίᾳ κίρνησι· κλίνων μὲν ἀπὸ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον».

ΑΠΟΚΡΙΣΙΣ

«Χεὶρ Κυρίου» ἐστὶν ἡ δημιουργικὴ δύναμις καὶ συντηρητικὴ καὶ τοῦ εὖ ποιητικὴ καὶ τοῦ φεῦ ἀποποιητική· πᾶσα οὖν ἁμαρτία, ἅμα ὑποστῇ, καὶ τὴν ἐκ τοῦ τέλους ἐπ᾽ αὐτῇ κρίσιν ἔχει παραπεπηγμένην. (≡14A_158≡> Κλινεῖ δὲ ἀπὸ τοῦ ἀποτόμου πρὸς τὸ ἐνδόσιμον, διὰ τῶν σωτηρίων ἐντολῶν ὑποτιθεμένη τῇ ψυχῇ τὴν κενωτικὴν τῆς τοιαύτης κρίσεως μετάνοιαν.

ΕΡΩΤΗΣΙΣ 104

Ἐρώτησις ἀπόρου ἐκ τοῦ 'Περὶ εὐταξίας' λόγου τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου· «πῶς λόγος νοῦ γέννημα καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ»; Περὶ ποίου ἄρα λέγει λόγου, τοῦ ἐνδιαθέτου ἢ τοῦ προφορικοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Φασὶν οἱ πατέρες ἡμῶν μὴ εἶναι τὸ ἄφετον καὶ ἁπλοῦν κατὰ τὴν οὐσίαν ἢ μόνον τὸ Θεῖον, τὰ δὲ ἄλλα πάντα, ὅσα μετὰ Θεὸν καὶ ἐκ Θεοῦ τὸ εἶναι ἔχει, ἐξ οὐσίας καὶ ποιότητος ἤτουν δυνάμεως εἶναι, τουτέστιν ἐξ οὐσίας καὶ συμβεβηκότος. Εἰ δὲ τοῦτο, πάντως καὶ ἡ ψυχὴ νοῦς ὑπάρχουσα κατὰ τὴν δύναμιν αὐτῆς, ἔχει ὡς ἀγέννητον ἑαυτήν, ἑαυτῷ γεννῶντα γεννητῶς, ὡς εἶναι τὸν λόγον τὸν ἐν τῷ νῷ καὶ ἐκ τοῦ νοῦ γεννώμενον ἄλλον αὐτῷ ἐκεῖνο τὸν

γεννῶντα νοῦν μετὰ τῆς κατὰ τὴν γέννησιν ἰδιότητος τῆς μηδαμῶς δεχομένης ἀντιστροφήν. Αὐτὸς οὖν ὁ λόγος ὁ οὕτω καὶ ὢν καὶ γεννώμενος, τῆς ὑπουργοῦ φύσεως τὴν φωνὴν λαμβάνων, προφέρεται καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοῖ, διὰ τῆς τοῦ δεχομένου ἀκοῆς τῷ νῷ παραπεμπόμενος. Γεννᾷ δὲ λόγον ἐν ἄλλῳ νοῖ, οὐ δημιουργῶν λόγον ἐν ἄλλῳ ἀλλὰ διδοὺς εἴδους, ἵν᾽ οὕτως εἴπω, καὶ μορφῆς δύναμιν πρὸς τὸ σχηματίσαι νόημα τῷ ἀκούοντι.

(≡14A_160≡> **ΕΡΩΤΗΣΙΣ 105**

Ἐκ τοῦ λόγου τοῦ εἰρηνικοῦ τοῦ αὐτοῦ ἁγίου Γρηγορίου· «τριάδα τελείαν ἐκ τριῶν τελείων, μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην καὶ τὸ εἶδος ἐξ ὧν καὶ τὰ σώματα, τριάδος ὁρισθείσης διὰ τὸ τέλειον· πρώτη γὰρ ὑπερβαίνει δυάδος σύνθεσιν».

ΑΠΟΚΡΙΣΙΣ

Οὐ τοῦ εἶναι τὴν θείαν καὶ μακαρίαν Τριάδα αἰτίαν ἐνταῦθα τίθεται, τῆς ὑπὲρ αἰτίαν καὶ λόγον, ἀλλὰ τῆς ἡμῶν πρὸς τὴν ἀληθεστάτην εὐσέβειαν τῆς ἁγίας Τριάδος χειραγωγίας. Ὥσπερ γὰρ ἐκ τῆς οὐσίας τῶν ὄντων τὸν γενεσιουργὸν ἐννοοῦμεν, οὕτω καὶ τὸν τρόπον τῆς ὑπάρξεως τῆς ὑπεραρρήτου θεότητος ἔκ τινων τῶν κατὰ τὰ ὄντα συμβόλων μυστικῶς διδασκόμεθα, αὐτῆς δηλονότι τῆς ἁγίας θεότητος κινούσης ἡμᾶς εἰς ἐπίγνωσιν ἑαυτῆς καὶ εὐσεβεῖς παρεχούσης ἀφορμὰς πρὸς τὸ τολμᾶν ἐξετάζειν τὸν τρόπον τῆς ὑπερφυοῦς αὐτῆς ὑπάρξεως. Λέγεται οὖν κινεῖσθαι ἢ δι᾽ ἡμᾶς τοὺς ἐπ᾽ αὐτὴν κινουμένους ἢ ὡς αἰτία τῆς ἡμῶν πρὸς τὴν γνῶσιν αὐτῆς κινήσεως. Ἐκίνησεν οὖν ἑαυτὴν ἐν ἡμῖν πρὸς τὸ γνῶναι ὅτι ἔστιν τις αἰτία τῶν ὅλων· ὅπερ ἐστὶν μονάδος κινηθείσης. Δυάδος δὲ ὑπερβαθείσης λέλεκται ὅτι συνθέσεως ἔξω καθορᾶται ἡ θεία φύσις. Τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον εἴρηται ὅτι αὐτὸ τὸ ὂν οὐκ ἔξω σοφίας καὶ ζωῆς ἐστιν· ὅπερ νοήσαντες ὡρίσαμεν σοφίαν τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, ζωὴν τὸ Πνεῦμα τὸ ἅγιον, ἐπειδὴ καὶ ἡ ψυχὴ ἡμῶν, κατ᾽ εἰκόνα Θεοῦ κτισθεῖσα, ἐν τοῖς τρισὶ τούτοις καθορᾶται, ἐν νῷ καὶ λόγῳ καὶ πνεύματι.

(≡14A_162≡> **ΕΡΩΤΗΣΙΣ 106**

Τί σημαίνει τὸ ἐν τῷ Ἔσδρᾳ λεγόμενον "φοβέρισον αὐτοὺς ἐν νόμῳ Κυρίου";

ΑΠΟΚΡΙΣΙΣ

Τὸ φοβέρισον εἴρηται ἀντὶ τοῦ "κατάπληξον αὐτούς", οὐκ ἐκ τῶν ἐπηγγελμένων ἀγαθῶν, ἀλλ᾽ ἐκ τῶν ἠπειλημένων φοβερῶν· δουλικὸν γὰρ τοῦτο καὶ Ἰουδαίοις ἁρμόδιον.

ΕΡΩΤΗΣΙΣ 107

Ἐκ τῶν 'Ἠθικῶν' τοῦ ἁγίου Βασιλείου εἰς τὸν πρῶτον ψαλμόν· «ἵνα ὥσπερ ἐν κοινῷ τῶν ψυχῶν ἰατρείῳ πάντες ἄνθρωποι, ἕκαστος τὸ ἴαμα τοῦ οἰκείου πάθους ἐκλεγώμεθα· 'ἴαμα', γάρ φησιν, 'καταπαύσῃ ἁμαρτίας μεγάλας'». Τίνος χάριν ὁ διδάσκαλος ἐνταῦθα οὐ τῇ Γραφῇ ἠκολούθησεν; ἐκείνη γὰρ τὸ ἴαμα τὸ ἐᾶσαι τὸν ἐπεισελθόντα πονηρὸν λογισμὸν καὶ μὴ παραδέξασθαι ἐξέδωκεν, αὐτὸς δὲ ἐπὶ τῆς ἰάσεως τὴν λέξιν ἐξέδωκεν.

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ πᾶσα ἀρχὴ καὶ τέλος ἔχει, καὶ πᾶσα ῥῆσις ἀνθυπακουόμενον, καὶ πᾶσα ἐνέργεια ἀποτέλεσμα, πολλάκις οἱ ἀκριβέστεροι τῶν διδασκάλων ἐκ τῶν ἀποτελεσμάτων τὴν ἀρχὴν τοῦ ἰδίου λόγου ποιοῦνται, καθάπερ καὶ ἐνταῦθα ὁ διδάσκαλος ἐχρήσατο· καὶ γὰρ τέλος τοῦ ἐᾶσαι καὶ μὴ παραδέξασθαι τὸ κακὸν ἴασίς ἐστιν καὶ ὑγεία.

ΕΡΩΤΗΣΙΣ 108

Ἐκ τοῦ αὐτοῦ· «ἄλλα μὲν οὖν προφῆται παιδεύουσιν (≡14A_164≡> καὶ ἄλλα ἱστορικοί, καὶ ὁ νόμος ἕτερα, καὶ ἄλλο τὸ εἶδος τῆς παροιμιακῆς παραινέσεως».

ΑΠΟΚΡΙΣΙΣ

Προφῆται μὲν παιδεύουσιν τὰ προγνωστικά, ἱστορικοὶ δὲ τὴν τῶν καλῶν ἀνάμνησιν καὶ παράθεσιν, ὁ δὲ νόμος τὴν τοῦ καλοῦ καὶ κακοῦ εἴδησιν· τὸ δὲ εἶδος τῆς παροιμιακῆς παραινέσεως συμβουλὴν γνώμης παρέχεται, τουτέστιν τοὺς τρόπους τῶν πρακτέων ὑποτίθεται.

ΕΡΩΤΗΣΙΣ 109

Ἐκ τοῦ αὐτοῦ· «καὶ πού τις τῶν σφόδρα ἐκτεθηριωμένων ὑπὸ θυμοῦ, ἐπειδὰν ἄρξηται τῷ ψαλμῷ κατεπᾴδεσθαι, ἀπῆλθεν εὐθὺς τὸ ἀγριαῖνον τῆς ψυχῆς τῇ μελῳδίᾳ κατακοιμήσας».

ΑΠΟΚΡΙΣΙΣ

Οὐ περὶ τοῦ ἁπλῶς ψάλλοντος ἀλλὰ περὶ τοῦ εἰδότος ψάλλειν εἶπεν ὁ διδάσκαλος· οὕτω γὰρ καὶ Ἐλισσαῖος παρὰ τῶν βασιλέων ἐπεζήτησεν νεανίσκον εἰδότα ψάλλειν, τουτέστιν νοοῦντα καὶ δυνάμενον διὰ τῆς τοῦ ῥητοῦ μεσιτείας τὴν ἐγκειμένην διάνοιαν πρὸς τὴν ψυχὴν διαβιβάσαι καὶ ἐντυπῶσαι. Ὁ τοιοῦτος γὰρ οὐ μόνον κατακοιμῆσαι δύναται τὸν θυμὸν ἀλλὰ καὶ ἐκδιῶξαι δαίμονας, τουτέστιν οὐ μόνον τὰ πάθη τῆς σαρκὸς σβέσαι ἀλλὰ καὶ τοὺς διεγείροντας ταῦτα δαίμονας ἀποδιῶξαι, κατὰ τὸν μέγαν Δαβὶδ τὸ πονηρὸν πνεῦμα τοῦ Σαοὺλ ἐκδιώκοντα.

ΕΡΩΤΗΣΙΣ 110

Τοῦ αὐτοῦ· «ὅπλον ἐν φόβοις νυκτερινοῖς, ἀνάπαυσις κόπων ἡμερινῶν».

(≡14A_166≡> **ΑΠΟΚΡΙΣΙΣ**

Νύκτα ἐκάλεσεν τὰς τοῦ ἐχθροῦ κεκρυμμένας δολερὰς προσβολάς, ἡμέραν δὲ τοὺς ὁμολογημένους καὶ ἐν φανερῷ πειρασμούς. Ὁ οὖν τὴν ἕξιν τῆς θείας γνώσεως εἰληφὼς καὶ μηδὲν ἀγνοῶν τῶν τοῦ ἐχθροῦ νοημάτων οὐ φοβεῖταί τι τῶν κεκρυμμένων τοῦ ἐχθροῦ προσβολῶν· φόβος γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ προσδοκώμενον κακόν. Ἀλλὰ μὴν καὶ ἀνάπαυσιν ἡγεῖται τοὺς ὑπὲρ τῶν ὁμολογημένων πειρασμῶν πόνους διὰ τὴν ἐγγινομένην ἐκ τῆς πρὸς αὐτοὺς συμπλοκῆς τῇ ψυχῇ δοκιμασίαν καὶ τὴν ἐλπιζομένην ἐκ ταύτης μακαρίαν ἐκδοχὴν τοῦ στεφάνου τῆς ἀφθαρσίας.

ΕΡΩΤΗΣΙΣ 111

Ἐκ τοῦ Ἀποστόλου πρὸς Ῥωμαίους· «συνέκλεισεν γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν».

ΑΠΟΚΡΙΣΙΣ

Καθάπερ ἀποδρᾶσαν καὶ πλανώμενον κτῆνος διώκει ὁ ἴδιος δεσπότης, ἐπὰν δὲ συγκλείσει αὐτὸ μετὰ τῶν διωκόντων καὶ εὕρῃ αὐτὸ τετραυματισμένον ἐπιμελεῖται αὐτοῦ, οὕτως καὶ ὁ τοῦ Θεοῦ Λόγος ἐνανθρωπήσας συνέκλεισεν ἀντὶ τοῦ "κατέλαβεν" καὶ ηὗρεν πάντας ἀπειθεῖς καὶ ἁμαρτωλούς, καὶ ἐλεήσας διέσωσεν.

ΕΡΩΤΗΣΙΣ 112

Ἐκ τοῦ αὐτοῦ· «ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει».

ΑΠΟΚΡΙΣΙΣ

Οὐ περὶ σωματικῆς νόσου τοῦτο εἴρηται τῷ Ἀποστόλῳ— ἀεὶ γὰρ ἔχαιρεν ἐπὶ ταῖς τοῦ σώματος νόσοις—ἀλλὰ τῷ ἀσθενοῦντι (≡14A_168≡> κατὰ ψυχὴν λάχανα ἐσθίειν προστάσσει, τουτέστιν τὰ σχέδια καὶ λιτὰ καὶ εὐκατέργαστα καὶ μὴ λιπαίνοντα τὴν σάρκα. Καὶ ταῦτα μὲν ὁ πρόχειρος νοῦς· κατὰ δὲ τὴν θεωρίαν, ἐκεῖνος ἀσθενεῖ καὶ λάχανα ἐσθίει, ὅστις ἀδυνάτως ἔχει πρὸς τὸ ὕψος τῆς γνώσεως ἀναβῆναι καὶ κατὰ Μωσέα αὐτῷ τῷ γνόφῳ οὗ ἐστιν ὁ Θεὸς ἐμπελάσαι, ἀλλ᾽ ἀκμὴν εἴτε τῶν τοῦ λαοῦ εἷς εἴτε καὶ τῶν ὑψηλοτέρων τούτων τῶν ἑβδομήκοντα πρεσβυτέρων τυγχάνων, τὴν φυσικὴν θεωρίαν δίκην λαχάνων τρέφεται.

ΕΡΩΤΗΣΙΣ 113

Ἐκ τοῦ αὐτοῦ· «λέγω μὲν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατ᾽ ἀρχὰς ἀπατηθεὶς ὁ ἄνθρωπος καὶ ἐν παραβάσει γενόμενος παρεσυνεβλήθη τοῖς κτήνεσιν καὶ κατεδικάσθη κατὰ τὸν αὐτῶν τρόπον καὶ γεννᾶσθαι καὶ ἀποθνῄσκειν, ὁ δὲ Κύριος τὸ ἴδιον πλάσμα εἰς τέλος ἀπολέσθαι μὴ ἀνασχόμενος κατὰ μὲν διαφόρους καιροὺς τὴν αὐτοῦ διεπραγματεύετο σωτηρίαν, ἐν δὲ τῷ Ἀβραὰμ ἐκδηλότερον ἐποιεῖτο τὴν μέλλουσαν ἔσεσθαι διὰ τῆς ἐνσάρκου αὐτοῦ ἐπιδημίας σωτηρίαν, ὅθεν μετὰ πάσας τὰς πρὸς αὐτὸν ἐπαγγελίας δίδωσιν αὐτῷ τὴν περιτομήν, ἥτις ἐδήλου τὴν περιαίρεσιν τοῦ παθητικοῦ τῆς ψυχῆς μέρους, ἐπεὶ οὖν πάντες οἱ ἅγιοι περιέτεμον μὲν τὸ ἐμπαθὲς τῆς ψυχῆς μέρος, οὐ μὴν εἰς τὸ παντελὲς περιεῖλαν—ὑπέκειντο γὰρ τῇ καταδίκῃ τῆς φύσεως, γεννηθέντες ἐκ συνουσίας—, αὐτὸς ἐλθὼν ὁ Κύριος ὁ καὶ Δεσπότης τῆς φύσεως, ὁ καὶ δοὺς τῷ Ἀβραὰμ τὴν περιτομήν, διάκονος ταύτης καὶ πληρωτὴς ἀληθῶς γέγονεν, τὴν παντελῆ τῆς ἐμπαθοῦς γεννήσεως περιαίρεσιν (≡14A_170≡> ποιησάμενος· ἄνευ γὰρ σπορᾶς συνελήφθη καὶ δίχα φθορᾶς ἐγεννήθη.

ΕΡΩΤΗΣΙΣ 114

Ἐκ τοῦ αὐτοῦ· «καὶ τοῦτο εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἤδη ὑμᾶς ἐξ ὕπνου ἐγερθῆναι».

ΑΠΟΚΡΙΣΙΣ

Καιρὸν λέγει τὸν τοῦ εὐαγγελικοῦ κηρύγματος καὶ ὅτι δεῖ πιστεύσαντας καὶ δικαιωθέντας πρὸς φυλακὴν τῆς ἐκ πίστεως καὶ χάριτος δικαιώσεως τῶν ἀρετῶν ἐκθύμως ἀντέχεσθαι καὶ κοιμωμένους διὰ τῆς ἀπραξίας τῶν ἐντολῶν καὶ πρὸς τὰ πνευματικὰ καὶ θεῖα τὸν νοῦν ἔχοντας ἀνενέργητον ἐξεγερθῆναι τῇ καρδίᾳ καὶ ἐγρήγορον ἔχειν τὸν νοῦν πρὸς τὰ οὐράνια καὶ νοητὰ κάλλη, πᾶσαν αἴσθησιν πρὸς τὰ αἰσθητὰ κατακοιμήσαντας, ἵνα ἐξῇ

ἡμῖν κατὰ τὸν Σολομῶντα λέγειν "ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ".

ΕΡΩΤΗΣΙΣ 115

Ἐκ τοῦ αὐτοῦ· «εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;»

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ περὶ τῶν νεκρῶν σωμάτων λέγει—ταῦτα γάρ ἐστιν τὰ πίπτοντα καὶ ἀνιστάμενα—βαπτιζόμεθα δὲ ὑπὲρ τῆς τούτων ἀναστάσεως—τὸ γὰρ βάπτισμα τύπον φέρει τῆς ταφῆς καὶ τῆς ἀναστάσεως· ἡ γὰρ κατάδυσις καὶ ἀνάδυσις τοῦτο δηλοῖ—, ὁ Απόστολος τοὺς ἐνδυάζοντας περὶ τῆς ἀναστάσεως ἐπιστομίζων ἔφη· "τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν;" Ὁ γὰρ τὸν τύπον ἐνταῦθα τῆς ταφῆς καὶ τῆς ἀναστάσεως διὰ τοῦ βαπτίσματος (≡14A_172≡> ἐπιτελῶν ἐκδέξεται καιροῖς ἰδίοις καὶ τὴν παντελῆ κατ᾽ ἀλήθειαν ἔσεσθαι ἀνάστασιν.

ΕΡΩΤΗΣΙΣ 116

Τί σημαίνει ἡ ἐν ταῖς Πράξεσιν δειχθεῖσα τῷ Πέτρῳ ὀθόνη καὶ τὰ ἐν αὐτῇ ὑπάρχοντα θηρία καὶ ἑρπετὰ καὶ τετράποδα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ τὸ ὀφθὲν τῷ προφήτῃ Ἰεζεκιὴλ ὅτι «τὸ ἔργον αὐτῶν ἦν ὡς τροχὸς ἐν τροχῷ», δηλοῦται δὲ διὰ τούτων ὅ τε αἰσθητὸς καὶ νοητὸς κόσμος ἐν ἀλλήλοις ὑπάρχοντες— ὁ μὲν γὰρ νοητὸς κόσμος τοῖς τύποις ἐστὶν ἐν τῷ αἰσθητῷ, ὁ δὲ αἰσθητὸς κόσμος τῷ λόγῳ ἐστὶν ἐν τῷ νοητῷ—ἐδείκνυτο οὖν τῷ Ἀποστόλῳ πάντα τὰ τοῦ αἰσθητοῦ κόσμου· τὸ γὰρ «τέσσαρσιν ἀρχαῖς καθιέμενον» τὸν ἐκ τεσσάρων στοιχείων συγκείμενον κόσμον δηλοῖ, ἐν τῷ νοητῷ ὑπάρχοντα καθαρὸν κατὰ τὸν ἐν αὐτοῖς ἐνυπάρχοντα λόγον. Ἧκουεν δὲ "ἀναστὰς θῦσον καὶ φάγε", τουτέστιν "τῷ νῷ διανάσθητι ἐκ τῶν κατ᾽ αἴσθησιν καὶ θῦσον καὶ φάγε, τῇ τοῦ λόγου διαιρέσει τὴν αἴσθησιν διελὼν καὶ πνευματικῶς ταῦτα ἀναλαμβάνων οἰκείωσαι". Ἢ καὶ τὴν Ἐκκλησίαν δηλοῖ τέσσαρσιν ἀρχαῖς τῶν Εὐαγγελίων στηριζομένην ἢ καὶ ταῖς τέσσαρσιν γενικαῖς ἀρεταῖς. Τὰ δὲ θηρία καὶ ἑρπετὰ τὰ διάφορα τῶν ἀνθρώπων ἤθη δηλοῦσιν τὰ ἐκ τῶν ἐθνῶν μέλλοντα τῇ πίστει τοῦ Χριστοῦ προσχωρεῖν. Τὸ δὲ θῦσον καὶ φάγε δηλοῖ ὅτι "πρῶτον τῷ λόγῳ τῆς διδασκαλίας ἀπόκτεινον τὴν ἐν αὐτοῖς κακίαν καὶ τότε φάγε τὴν σωτηρίαν αὐτῶν οἰκειούμενος, καθὼς καὶ ὁ Κύριος ταύτην ἑαυτῷ βρῶσιν ἐποιεῖτο".

(≡14A_174≡> **ΕΡΩΤΗΣΙΣ 117**

Τί δηλοῖ ἐν ταῖς αὐταῖς Πράξεσιν ὁ τῶν πέντε μυριάδων ἀριθμὸς τῶν καέντων βιβλίων;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ ἀριθμὸς τῆς μυριάδος τέλος ἐστὶν παντὸς ἀριθμοῦ, δηλοῦται διὰ τούτου ὅτι πάσης μαγείας καὶ περιεργίας τέλος ἄλλο οὐκ ἔστιν εἰ μὴ ἡ τῶν αἰσθητῶν πλάνη, ἣν οἱ διαγινώσκοντες τῷ πυρὶ τῆς ἀποστολικῆς διδασκαλίας κατακαίουσιν.

ΕΡΩΤΗΣΙΣ 118

Τίς ἡ αἰτία τοῦ ἐκπνεῦσαι τὸν Κύριον ἐν τῷ σταυρῷ πρὸ τῶν λῃστῶν καὶ τί δηλοῦσιν οἱ λῃσταὶ καὶ αἱ κλάσεις τῶν σκελῶν;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, Θεὸς ὢν φύσει, σάρκα ἀναλαβὼν τὴν ἡμετέραν κατὰ ἀλήθειαν γέγονεν μόνος ἄνθρωπος, μόνος τὸν τοῦ Θεοῦ σκοπὸν ἐν ἑαυτῷ φυλάξας, ὅνπερ εἶπεν "ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν", καὶ καθάπερ ὁ πρῶτος ἄνθρωπος ταῖς θείαις χερσὶν διεπλάσθη, οὕτως καὶ τὸν ὑπὲρ αὐτοῦ θάνατον ἀποθνῄσκων ὁ Κύριος μόνος καὶ πρῶτος ταῖς πατρικαῖς παλάμαις τὴν αὐτοῦ ψυχὴν ἐναπέθετο. Καὶ ὥσπερ ἦν καὶ ἐγένετο μονογενὴς καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὕτως καὶ τὸν ἀναιρέτην τοῦ θανάτου θάνατον μόνος καὶ πρῶτος ὑπομεῖναι κατεδέξατο, ἵνα γένηται καὶ πρωτότοκος ἐκ νεκρῶν καὶ ἐν πᾶσιν αὐτὸς πρωτεύων.

Οἱ δὲ λῃσταὶ λαμβάνονται ἐπὶ τῆς ἡμετέρας φύσεως διαιρουμένης (≡14A_176≡> εἰς δικαίους καὶ ἁμαρτωλούς. Ἡ δὲ τῶν σκελῶν κλάσις δηλοῖ ὅτι πάντας μὲν ἀνθρώπους ἀποθνῄσκοντας οὐκ ἄνευ πλημμελημάτων καὶ συντριβῆς ἁμαρτίας εὑρίσκεσθε, μόνος δὲ ὁ Κύριος σῶος καὶ ἄνευ τῆς οἱασοῦν ἁμαρτίας ἀπέθανεν. Εἰς δὲ τὸν καθένα λαμβάνονται οἱ λῃσταὶ πολλαχῶς· λαμβάνονται γὰρ καὶ ἐπὶ σώματος καὶ ψυχῆς, καὶ ἐπὶ τοῦ σαρκικοῦ καὶ πνευματικοῦ φρονήματος, ἀλλὰ καὶ ἐπὶ θυμοῦ καὶ ἐπιθυμίας, καὶ ἐπὶ τοῦ αἰσθητοῦ κόσμου καὶ τοῦ νοητοῦ, καὶ ἐπὶ τοῦ γραπτοῦ νόμου καὶ τοῦ τῆς χάριτος. Ἐπειδὴ δὲ καὶ ἁμαρτανόντων ἡμῶν καὶ δικαιοπραγούντων ἀεὶ ὁ λόγος συγκαταβαίνων μέσος ἡμῶν σταυροῦται, ἡνίκα οὖν διὰ τῆς ἡμῶν κακοπραγίας καὶ ἀγνοίας τὸν λόγον ἀνενέργητον καὶ κλίνοντα κάτω ποιήσωμεν, εὐθέως οἱ δαίμονες ἐπιπηδῶντες τὰς πορευτικὰς καὶ διαβατικὰς τῆς ψυχῆς δυνάμεις ἡμῶν κατακλάννουσιν.

ΕΡΩΤΗΣΙΣ 119

Τίς ἡ διαφωνία τῶν ἐν ταῖς Πράξεσιν ἀναγεγραμμένων ἐν τῇ κατὰ τὸν Παῦλον ὀπτασίᾳ; Ἐν μὲν γὰρ τῇ κατὰ τὴν ὁδὸν ὀπτασίᾳ ἱστορεῖ ὁ Λουκᾶς τοὺς μετ᾽ αὐτοῦ ὄντας τῆς φωνῆς μὲν ἀκοῦσαι, μηδένα δὲ θεωρῆσαι· ἐν δὲ τῷ διηγεῖσθαι τὸν Παῦλον ἐπὶ τῶν ἀναβαθμῶν τὴν αὐτὴν ὀπτασίαν λέγει τοὺς μετ᾽ αὐτοῦ ὄντας τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι.

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὴν ἱστορίαν ὁ Χρυσόστομος πάνυ ἐπιστημόνως ἑρμηνεύσας τὸν τόπον ἔφη ὅτι ἡ πρώτη ἐξήγησις ἡ λέγουσα "τῆς φωνῆς ἤκουον οἱ συνόντες", τῆς Παύλου φωνῆς λέγει ἀκούειν αὐτοὺς τῆς λεγούσης "τίς εἶ, Κύριε;" οὐδένα δὲ ἔβλεπον ἄνθρωπον εἰ μὴ Παῦλον. Ἡ δὲ δευτέρα ἐξήγησις ἡ λέγουσα (≡14A_178≡> τὸ μὲν φῶς τεθεᾶσθαι, τὴν δὲ φωνὴν τοῦ λαλοῦντος μὴ ἀκηκοέναι, φωνῆς λέγει αὐτοὺς μὴ ἀκηκοέναι τῆς τοῦ Κυρίου πρὸς τὸν Παῦλον γεγενημένης, μόνον δὲ τὸ φῶς τεθεᾶσθαι. Κατὰ δὲ τὴν θεωρίαν οὕτως ἐκληπτέον τὸν τόπον· ὁ γνωστικὸς νοῦς κατὰ τὸν Παῦλον ἔχει συνόντας αὐτῷ τοὺς λογισμούς· κατὰ οὖν τὴν πρώτην τοῦ Λόγου πρὸς τὸν νοῦν γινομένην ἐμφάνειαν οἱ λογισμοὶ ἀπηχήματα μόνον καὶ ἰνδάλματα τῆς γνώσεως ἀκούουσιν, οὐδὲν δὲ τετρανωμένον θεωροῦσιν· προκόπτοντος δὲ τοῦ νοῦ καὶ ἐπὶ τῶν ἀναβαθμῶν γινομένου, τουτέστιν ἐπὶ τῆς ὑψηλῆς θεωρίας, οὐκέτι

οἱ λογισμοὶ ἰνδαλμάτων ἀλλὰ τοῦ φωτὸς τῆς γνώσεως τέλειον ἐν μετουσίᾳ γίνονται.

ΕΡΩΤΗΣΙΣ 120

Πῶς ὀφείλει εὐσεβῶς νοηθῆναι ἡ ἐν τῇ Γραφῇ κειμένη τοῦ Θεοῦ μεταμέλεια;

ΑΠΟΚΡΙΣΙΣ

Φασὶν οἱ τὰ θεῖα εὐσεβῶς φρονεῖν διεγνωκότες ἀδύνατον εἶναι τὸν Θεόν, φύσει ὄντα δημιουργόν, καὶ μὴ προνοητὴν εἶναι φύσει τῶν δεδημιουργημένων. Εἰ δὲ τοῦτο, ἀνάγκη πᾶσά ἐστιν, φυσικῶς προνοουμένου τοῦ Θεοῦ τῆς ἀνθρωπότητος, πολλοὺς εἶναι παρ᾽ αὐτῷ τοὺς περὶ τὴν προνοουμένην φύσιν τῆς σωτηρίας τρόπους. Ἐπειδὴ γὰρ ἀγχίστροφον ζῷον ὁ ἄνθρωπος, εὐχερῶς τοῖς καιροῖς καὶ τοῖς πράγμασιν συμμεταβαλλόμενον, ἀνάγκη πάντως καὶ τὴν θείαν πρόνοιαν, μίαν καὶ τὴν αὐτὴν οὖσαν, συμμεταβάλλεσθαι ταῖς ἡμῶν διαθέσεσιν, διὰ τῶν προσφυῶς ἁρμοζόντων ταῖς ἐν τῇ φύσει ἀναφυομέναις κακίαις τρόπον ἐφευρίσκουσαν. Καὶ ὥσπερ ἐπὶ τῆς ἰατρικῆς πολλαὶ αἱ ταύτης ὑποκείμεναι νόσοι, καὶ ἀνάγκη τὸν ἐπιστήμονα ἰατρόν, (≡14A_180≡> τοῦ ὑποκειμένου σώματος εἰς πολλὰ καὶ διάφορα πάθη μεταπίπτοντος, καὶ αὐτὸν εἰς κρείττονας τρόπους ἀπὸ τῶν ἡττόνων μεταβαίνειν, οὕτως καὶ ἐπὶ Θεοῦ ἡ ἀπὸ τοιοῦδε τρόπου ἐπὶ ἕτερον τρόπον τῆς προνοίας μετάβασις μεταμέλεια τοῦ Θεοῦ τῇ Γραφῇ σύνηθες ὀνομάζεσθαι.

ΕΡΩΤΗΣΙΣ 121

Τί δηλοῖ τὸ τοῦ ρδ' (104) ψαλμοῦ ῥησίδιον τὸ «μετέστρεψεν τὴν καρδίαν αὐτοῦ τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Θεὸς οὐ μόνον γινώσκει τὰ ὄντα πρὸ τῶν αἰώνων ὡς ἐν αὐτῷ ὄντα αὐτῇ τῇ ἀληθείᾳ, κἂν εἰ αὐτὰ τὰ πάντα, τά τε ὄντα καὶ τὰ ἐσόμενα, οὐχ ἅμα τῷ γνωσθῆναι καὶ τὸ καθ᾽ αὐτὰ εἶναι ἔλαβον, ἀλλ᾽ ἕκαστα τῷ ἐπιτηδείῳ καιρῷ—οὐ γὰρ οἷόν τε τῶν ἅμα εἶναι τὸ ἄπειρον καὶ τὰ πεπερασμένα—, ἀλλὰ καὶ τὸ τέλος τῆς ἑκάστου κατὰ τὴν κίνησιν διαθέσεως· οὐ γὰρ ἔστιν χρόνος ἢ αἰὼν ὁ ταύτην μεταξὺ Θεοῦ διακόπτων· οὐδὲν γὰρ ἐν αὐτῷ πρόσφατον, ἀλλὰ τὰ μέλλοντα ὡς παρόντα εἰσίν· οἱ δὲ χρόνοι καὶ οἱ αἰῶνες οὐ τῷ Θεῷ ἀλλ᾽ ἡμῖν εἰσιν δεικτικοὶ τῶν ἐν τῷ Θεῷ ὄντων. Μὴ δὲ γὰρ ὅτε τι ὁρῶμεν τὸν Θεὸν ποιοῦντα, τότε καὶ τῆς περὶ αὐτὸ γνώσεως ἦρχθαι νομίσωμεν.

Εἰ δὲ τοῦτο ἀληθές, ὥσπερ οὖν καὶ ἔστιν, ᾔδει πάντως ὡς παροῦσαν τὴν μέλλουσαν οὐ μόνον ἔσεσθαι τῶν Αἰγυπτίων πονηρίαν καὶ πρὸς πᾶσαν ἀγαθῶν ἐργασίαν ἀπειθῆ προαίρεσιν καὶ ἐπιτήδειον πρὸς ἐκδίκησιν τῶν ἐκ τῆς κατὰ τὴν Αἴγυπτον συνηθείας πεπραγμένων τοῖς Ἰσραηλίταις κακῶν διάθεσιν, (≡14A_182≡> ἀλλὰ καὶ τὴν τῶν Ἰσραηλιτῶν εὐπειθῶς προσχωρεῖν μέλλουσαν τῷ λόγῳ τῆς εὐσεβείας διὰ τῆς πίστεως. Ἐπειδὴ οὖν τὰς τοιαύτας κεκρυμμένας διαθέσεις καὶ παρ᾽ αὐτοῦ τὸ πρὶν κατησχημένας συνεχώρησεν εἰς ἐνέργειαν ἐλθεῖν, κατὰ τοῦτο λέγεται μεταστρέψαι· ὥσπερ γὰρ ἐπιτόνιν ἠσφαλισμένον καὶ βίᾳ ὁρμὴν ὕδατος κατέχον, εἰ τύχοι τινὰ στρέψαι τοῦτο, εὐθὺς τὴν

κεκρυμμένην ὁρμὴν τὸ ὕδωρ ἐκδίδωσιν, οὕτω καὶ αἱ πονηραὶ καὶ αἱ ἀγαθαὶ διαθέσεις συγχωρούσης τῆς προνοίας διὰ τῶν μέσων πραγμάτων εἰς τὸ ἐμφανὲς ἄγονται.

ΕΡΩΤΗΣΙΣ 122

Τίνων τύποι ἦσαν ἐν τῇ Ἐξόδῳ ὅ τε Μωυσῆς καὶ ὁ Φαραὼ καὶ τίς ἡ Αἴγυπτος καὶ πῶς αἱ πληγαὶ τοῖς μὲν ἦσαν, τοῖς δὲ οὐκ ἦσαν; Καὶ τίς ὁ ὁλοθρευτὴς καὶ τίς ὁ τῶν πρωτοτόκων θάνατος καὶ διατί ἡ Γραφὴ πῇ μὲν λέγει ἀναγαγεῖν ἐξ Αἰγύπτου, πῇ δὲ ἐξαγαγεῖν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Μωυσῆς τύπος ἐστὶν τῶν εὐσεβῶν καὶ τοῦ κατ᾽ αὐτῶν τέλους, ὁ δὲ Φαραὼ τῶν ἀσεβῶν καὶ τοῦ κατ᾽ αὐτῶν τέλους· καθ᾽ ὅσον γὰρ ἦν ὁ Μωυσῆς ὑπήκοος καὶ ἁπαλὸς πρὸς ἐκτύπωσιν τῶν θείων παραγγελμάτων, κατὰ τοσοῦτον ἦν ὁ Φαραὼ πρὸς τὰ ἐναντία διακείμενος. Αἴγυπτος δὲ κατὰ μίαν τῶν περὶ αὐτῆς ἐπιβολῶν ‘σκοτασμὸς’ ἑρμηνεύεται, λαμβάνεται δὲ εἰς τὸν αἰῶνα τοῦτον. Φασὶν δὲ τὴν Αἴγυπτον οἱ γηογραφεῖς πάσης τῆς γῆς χθαμαλωτέραν εἶναι· διὰ τοῦτο ἡ Γραφὴ οὐ μόνον ἐξήγαγεν ἀλλὰ καὶ ἀνήγαγεν λέγει, ἐξαγωγὴν δηλούσης τῶν ἀπὸ τῆς προσπαθείας τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα ἐρχομένων, ἀναγωγὴν δὲ τῶν ἀπὸ τῶν ὑλικῶν ἐπὶ τὰ νοητὰ ἀναφερομένων.

Αἰγύπτιοι δέ εἰσιν πάντες οἱ φιλήδονοι καὶ φιλόκοσμοι, κἂν (≡14Α_184≡> εὐγενεῖς ὦσιν τῷ σώματι· Ἰσραηλῖται δὲ πάντες οἱ φιλόθεοι καὶ μισόκοσμοι. Τοῖς μὲν οὖν τὸ ὕδωρ αἷμά ἐστιν, τοῖς δὲ ὕδωρ κατὰ φύσιν· ἐπειδὴ γὰρ τὸ ὕδωρ θρεπτικόν ἐστιν καὶ ζωτικόν, δηλοῖ ὅτι ὅστις τὴν ἀφορμὴν τῆς ζωῆς ταύτης πρὸς ἀδικίαν καὶ ἁρπαγὴν καὶ πλεονεξίαν ποιεῖται, φονεὺς ὑπάρχων τῶν ὑπ᾽ αὐτοῦ ἀδικουμένων, τὸ ὕδωρ αἷμα ἔχει· ὅστις δὲ τὴν ἀφορμὴν τῆς ζωῆς ἐκ δικαίων πόνων ἔχει, τούτῳ τὸ ὕδωρ, τῆς ζωῆς ὕδωρ ἐστίν. Ἀποκτέννονται δὲ τὰ πρωτότοκα τῶν Αἰγυπτίων ἐπειδὴ οὐκ ἔχουσιν τὰς φλιὰς κεχρισμένας τοῦ αἵματος τοῦ ἀμνοῦ. Πρωτότοκα δέ εἰσιν τὰ πρῶτα τοῦ νοῦ γεννήματα καὶ διανοήματα, φλιαὶ δὲ αἱ αἰσθήσεις, ὁλοθρευτὴς δὲ ὁ διάβολος, διὰ μέσου τῶν αἰσθήσεων δεσμεύων τὴν ψυχὴν πρὸς τὰ αἰσθητὰ καὶ πᾶν αὐτῆς θεῖον κίνημα ἀναιρῶν. Διατηροῦνται δὲ τὰ πρωτότοκα καὶ τῶν Ἰσραηλιτῶν τῇ χρίσει τοῦ αἵματος, τουτέστιν τὰ θεῖα τοῦ νοῦ κινήματα τῇ νεκρώσει τῶν αἰσθήσεων.

ΕΡΩΤΗΣΙΣ 123

Τί ἐστιν τὸ ἐν τῷ οε' (75) ψαλμῷ εἰρημένον, ὅτι «ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ μὲν ἑορτὴ εὐφραινομένων ἐστίν, ἡ δὲ ἐξομολόγησις ἐταζομένων· καὶ τὸ μέν ἐστιν λύπης, τὸ δὲ χαρᾶς. Τοῦτο οὖν λέγει, ὅτι ἐν τῇ κρίσει ἀντισηκούμενον τὸ παροδικὸν καὶ ἀτελὲς τοῦ ἀγαθοῦ ἐνθύμημα τῷ πονηρῷ καὶ ἀπηρτισμένῳ ἐνθυμήματι τὸ πλέον ἔχει· τὸ μὲν γὰρ ἐτάζεται, τὸ δὲ ἑορτῆς καὶ χαρᾶς γίνεται πρόξενον.

(≡14Α_186≡> ΕΡΩΤΗΣΙΣ 124

Τί δηλοῖ ὁ Ἀπόστολος λέγων "ἐμοὶ δὲ γένοιτο πέντε λόγους λαλῆσαι ἐν Ἐκκλησίᾳ ἢ μυρίους λόγους ἐν γλώσσῃ";

ΑΠΟΚΡΙΣΙΣ

Πέντε λόγους λαλεῖ, κἂν εἷς ἐστιν ὁ λαλούμενος, ὁ λόγον παιδαγωγικὸν τῶν πέντε αἰσθήσεων λαλῶν· μυρίους δὲ λόγους ἐν γλώσσῃ λαλεῖ ὁ διὰ τοῦ ἰδίου λόγου πρόσκλησιν ποιούμενος παθῶν. Καὶ πάλιν· πέντε λόγους λαλεῖ ὁ διὰ τῆς ἐν πνεύματι τῶν ὄντων θεωρίας τὸν κτίστην δεικνύων· πενταδικὴ γὰρ ἡ φύσις ἐξ εἴδους καὶ τῶν τεσσάρων στοιχείων οὖσα· μυρίους δὲ λόγους λαλεῖ ὁ λόγους κεκομψευμένους καὶ συμπλοκὰς πειθανὰς περὶ τῆς ἐνεργείας τῶν ὁρατῶν ποιούμενος πρὸς οἰκείαν δόξαν καὶ ἀπόλαυσιν καὶ θεοποιῶν τὴν κτίσιν παρὰ τὸν κτίσαντα· ἡ κτίσις γὰρ οὐχ ἵνα θεωθῇ ἐδόθη ἀλλ᾽ ἵνα Θεὸν διδάξῃ.

ΕΡΩΤΗΣΙΣ 125

Τί δηλοῦσιν οἱ ἐν τῷ Εὐαγγελίῳ παραιτούμενοι τὴν κλῆσιν διὰ τὸν ἀγρὸν καὶ τὸν γάμον καὶ τὰ ζεύγη τῶν βοῶν;

ΑΠΟΚΡΙΣΙΣ

Διὰ τῆς γυναικὸς ἡ φιληδονία δηλοῦται, διὰ δὲ τοῦ ζεύγους τῶν βοῶν ἡ φιλοκτημοσύνη, διὰ δὲ τοῦ ἀγροῦ ἡ γαστριμαργία· περὶ ἃ πᾶς ἄνθρωπος ἀπασχολούμενος τῶν θείων ἐπαγγελιῶν ἐκπίπτει.

(≡14A_188≡> **ΕΡΩΤΗΣΙΣ 126**

Τί ἐτυμολογεῖται γαστριμαργία;

ΑΠΟΚΡΙΣΙΣ

Οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν. Ἀριστοτέλης δὲ ἐν τῷ 'Περὶ ζῴων' μέμνηται ζῴου μαργοῦ λεγομένου καὶ ὅτι γεννᾶται ἀπὸ σήψεως μεταξὺ τῆς γῆς καὶ τοῦ ὕδατος· καὶ ἀφ᾽ οὗ γεννηθῇ, οὐ παύεται γῆν φαγὸν ἕως ἐκτρυπῆσαν τὴν γῆν εἰς τὴν ἐπιφάνειαν ἔλθῃ· καὶ ἐλθὸν θνῄσκει τρεῖς ἡμέρας, καὶ μετὰ τρεῖς ἡμέρας ἔρχεται νέφος βροχῆς καὶ βρέχει ἐπάνω αὐτοῦ καὶ ἀναζῇ, μηκέτι ἀειφάγον ὄν. Καὶ ἐκ τούτου οἶμαι τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντας τοὺς πολυφάγους γαστριμάργους ἀποκαλέσαι. Δύναται δέ τις εὐσεβῶς τοῖς οὖσιν ἐπιβάλλειν εἰδώς, καὶ κατὰ πνευματικὴν θεωρίαν ἐκλαβεῖν τὰ εἰρημένα. Πᾶν γὰρ πάθος ἀπὸ σήψεως γεννᾶσθαι πέφυκεν καὶ ἐπειδὰν γεννηθῇ οὐ παύεται ἐσθίον τὴν ὑποστήσασαν αὐτὸ καρδίαν ἕως ἂν διὰ τῆς ἀγωνιστικῆς ἕξεως εἰς φανέρωσιν ἔλθῃ· καὶ ἐλθὸν θνῄσκει ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς, καὶ οὕτως ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ὡς διὰ νέφους τῆς διδασκαλίας ἐπιφανεῖσα, σταλαγμοὺς δίδωσιν γνώσεως καὶ ζωοποιεῖ, οὐ κατὰ τὴν προτέραν ἐμπαθῆ ζωήν, ἀλλὰ κατὰ τὴν ἐνάρετον καὶ τῷ Θεῷ οἰκείαν.

ΕΡΩΤΗΣΙΣ 127

Τίς ἡ παραβολὴ τῶν ἐν τῷ Εὐαγγελίῳ μισθωθέντων ἐργατῶν εἰς τὸν ἀμπελῶνα καὶ τίς ἡ δοκοῦσα ἀνισότης;

(≡14A_190≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἡ τοῦ Θεοῦ κρίσις οὐ κατὰ χρόνον καὶ σῶμα γίνεται, διότι καὶ ἡ ψυχή, ἄχρονος καὶ ἀσώματος οὖσα, διὰ τὸ μὴ κατὰ χρόνον τὴν αὔξησιν καὶ τὸ πέρας δέχεσθαι, ἀχρόνως καὶ τὰς κινήσεις τῆς διαθέσεως ποιεῖται. Καλὸν δὲ ἐν ὑποδείγματι διασαφῆσαι τὰ

λεγόμενα· πολλάκις ἐστίν τις ἑβδομήκοντα χρόνους ἔχων ἐν τῷ μονήρει βίῳ, ἄλλος δὲ μίαν ἡμέραν· ἐπειδὴ δὲ ὁ τοῦ ἐπαγγέλματος σκοπός ἐστιν ἵνα τῆς πρὸς τὰ ὑλικὰ προσπαθείας καὶ σχέσεως ἀνασπάσας, τὴν ψυχὴν ὅλην μετενέγκῃ πρὸς Θεόν, ὁ οὖν ἑβδομήκοντα ἔτη ἔχων οὐδόλως περὶ τῆς τοιαύτης ἀπαθείας μεριμνήσας ἐτελεύτησεν, ὁ δὲ μίαν ἡμέραν ἔχων, πᾶσαν αὐτοῦ τὴν πρὸς τὰ ὑλικὰ ἐμπαθῆ διάνοιαν ἀνασπάσας, ὅλην τῷ Θεῷ ἐγκολπώσας ἐτελειώθη· ἐν τῇ οὖν γινομένῃ κατὰ τὴν κρίσιν διανομῇ, ὁ μὲν ἀξίως τὸν μισθὸν λαμβάνει ὡς εἰς πέρας τὸν σκοπὸν τοῦ ἐπαγγέλματος ἀγαγών, ὁ δὲ κατὰ χάριν καὶ μόνον ὑπὲρ οὗ τὸν τῆς ἀσκήσεως ὑπέμεινεν κόπον.

ΕΡΩΤΗΣΙΣ 128

Εἰ ἄρα τῷ Ἰὼβ ἀπαράδεκτος γέγονεν ἡ λύπη ἐν τοῖς συμβεβηκόσιν αὐτῷ;

ΑΠΟΚΡΙΣΙΣ

Ἀπαράδεκτον λύπης γεγενῆσθαι λέγομεν τὸν Ἰώβ· ὁ γὰρ ἅπαξ εὐσεβῶς τὴν διάσκεψιν τῶν ὄντων ποιησάμενος καὶ βεβαιώσας ἐν ἑαυτῷ τὸ πρὸς τὰ παροδεύοντα μῖσος καὶ τὴν πρὸς τὰ ἀπαρόδευτα ἀγάπην, πῶς παθοῦσιν τοῖς παροδικοῖς διὰ τῆς ἐναλλαγῆς τοῦ τρόπου, ὅπερ φυσικῶς πάσχειν εἰώθασιν, λυπεῖσθαι ἠδύνατο;

ΕΡΩΤΗΣΙΣ 129

Τί οὖν οὐδεὶς τῶν ἁγίων ἐδέξατο λύπην καὶ πῶς περὶ (≡14A_192≡> πολλῶν ἁγίων λέγεται λύπην ἐσχηκέναι, καθὰ καὶ Παῦλος λέγει ὅτι "λύπη μοί ἐστιν ἀδιάλειπτος" καὶ τὰ λοιπά;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν περὶ τὰ πρακτὰ καταγινόμενος, ἕως ἂν ἡ συνείδησις αὐτὸν διὰ τὰς κατὰ μνήμην φαντασίας κεντᾷ πλήττουσα, λυπεῖται πάντως τὴν ἐπαινετὴν λύπην· ὁ δὲ εἰς τὸ τῆς τελειότητος μέτρον ἐφθακώς, καὶ ὑπὲρ ταύτην γίνεται· ὁ γὰρ διὰ γνώσεως πεφωτισμένος, τὸ νοερὸν τῆς ψυχῆς Θεῷ ἀδιαιρέτως ἐξαπλώσας κατὰ τὴν ἴσην τῆς κινήσεως ταυτότητα, καὶ τὴν ἀνεκλάλητον χαρὰν ἐν τῇ διηνεκεῖ τοῦ θείου κάλλους τρυφῇ κτησάμενος, πῶς τὴν ταύτης ἀντικειμένην λύπην δέξηται;

Ποτὲ λυπεῖσθαι δὲ λέγονται οἱ ἅγιοι κατὰ μίμησιν τοῦ αὐτῶν Δεσπότου· λέγεται γὰρ ἐπὶ Θεοῦ καὶ λύπη καὶ χαρὰ κατὰ τὴν πρόνοιαν, λύπη μὲν ἐπὶ τῶν ἀπολλυμένων, χαρὰ δὲ ἐπὶ τῶν σῳζομένων. Εἷς οὖν ὁ λόγος τῆς λύπης, πολλοὺς ἐπιδέχεται τρόπους διαθέσεων. Ἡ οὖν λεγομένη ἐπὶ τῶν ἁγίων λύπη ἔλεός ἐστιν καὶ συμπάθεια καὶ χαρᾶς περιουσία, θεοειδοῦς τελειότητος ἔνδον ἀποκειμένης καὶ πρὸς τὰ ἐκτὸς προνοητικῶς διαδιδομένης.

ΕΡΩΤΗΣΙΣ 130

Εἰ προηγεῖται ἡ θεωρία τῆς πράξεως;

ΑΠΟΚΡΙΣΙΣ

Διττὸς ὁ τῆς θεωρίας τρόπος· α. μὲν ὁ ὁρίζων τοῖς πρακτοῖς τὰ δέοντα, ὅστις καὶ προηγεῖται τῶν πρακτῶν· β. δὲ ἕτερος ὁ τὰ πραττόμενα διανοούμενος, ὅστις καὶ μετεπινοεῖται τῆς πράξεως.

(≡14A_194≡> ΕΡΩΤΗΣΙΣ 131

Ἐκ τοῦ Ἡσαΐου· «ἀμπελῶνα ἐφύτευσα καὶ φραγμὸν αὐτῷ περιέθηκα» καὶ τὰ λοιπά.

ΑΠΟΚΡΙΣΙΣ

Ἡ τοῦ ἀμπελῶνος φύτευσις τὴν δημιουργίαν σημαίνει, ὁ δὲ φραγμὸς τὸν φυσικὸν νόμον, ἡ δὲ χαράκωσις τὸν γραπτόν· οἷς τὴν φύσιν ὁ δημιουργὸς κατησφαλίσατο. Ὅστις οὖν τὴν κατὰ φύσιν σποράν τοῦ ἀγαθοῦ γεωργήσει κατὰ προαίρεσιν γνησίως, ἐκεῖνος καρπὸν τῷ φυτευτῇ ἐποίησεν· ὅστις δὲ πρὸς τὸ μὴ ὂν παραλόγως φέρεται, ἐκεῖνος ἀκάνθας ποιεῖ, τουτέστιν τὰ πάθη, καὶ καταπατεῖται ὑπὸ τῶν ταῦτα ἐνεργούντων δαιμόνων.

ΕΡΩΤΗΣΙΣ 132

Ἐκ τῶν Ἀισμάτων· «δεῦρο ἀπὸ Λιβάνου, νύμφη, δεῦρο ἀπὸ Λιβάνου, ἀπὸ μανδρῶν λεόντων, ἀπὸ ὀρέων παρδάλεων».

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Θεὸς Λόγος πρὸς τὴν νυμφευομένην αὐτῷ δι᾽ ἀγαθῶν ἔργων λέγει ψυχὴν ἢ καὶ πρὸς τὴν φύσιν ἅπασαν τῆς ἀνθρωπότητος ἐξελθεῖν ἀπὸ τῆς εἰδωλολατρείας—τοῦτο γὰρ σημαίνει ὁ Λίβανος—καὶ τῆς κακοεξίας—ὁπερ αἱ μάνδραι τῶν λεόντων σημαίνουσιν· ὁ γὰρ λέων ἀεὶ κατὰ τῶν ὤμων ἐπέρχεται, τουτέστιν τῆς πρακτικῆς—καὶ ἀπὸ ὀρέων παρδάλεων, τουτέστιν ἀπὸ τῆς ἀγνοίας· τὸ γὰρ ζῷον τοῦτο φυσικῶς κατὰ τῶν ὀφθαλμῶν τὴν ὁρμὴν ποιεῖται, οἱ δὲ ὀφθαλμοὶ προδήλως εἰς τὴν γνῶσιν λαμβάνονται.

ΕΡΩΤΗΣΙΣ 133

Ἐκ τοῦ Ἡσαΐου· «ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς κριθήσομαι μεθ᾽ ὑμῶν».

(≡14A_196≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἐπειδὴ τὴν ζωὴν τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ τὸν περίγειον τοῦτον τόπον προνοητικῶς εἰσιν πεπιστευμένοι ἄγγελοι, διακονοῦντες ἡμῖν τοὺς θείους λόγους, ὁμοίως δὲ καὶ οἱ προφῆται διεκόμισαν ἡμῖν διὰ τῶν ἰδίων λόγων τοὺς τρόπους τῆς σωτηρίας, ἐπὶ τούτων οὖν λέγει κριθήσεσθαι μεθ᾽ ἡμῶν, ὄρη λέγων τοὺς ἀγγέλους, βουνοὺς δὲ τοὺς πατριάρχας καὶ προφήτας.

ΕΡΩΤΗΣΙΣ 134

Τί σημαίνει τὸ τοῦ ψαλμοῦ "ὀρφανὸν καὶ χήραν ἀναλήψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ";

ΑΠΟΚΡΙΣΙΣ

Χήρα ἐστὶν ψυχὴ τὸν φυσικὸν νόμον θνήξασα, ὀρφανὸς δέ ἐστιν ὁ ὑπόκλοπος τρόπος, ὁ χάριν φιλενδειξίας καὶ λημμάτων ἀδροτέρων ἐπιτηδευόμενος, πατέρα μὴ ἔχων τὸν Θεόν. Διὰ οὖν τῆς ὑποθετικῆς συμβουλῆς ὁ Κύριος τὸν μὲν φυσικὸν νόμον ζωοποιῶν, τὸν δὲ ὑπόκλοπον τρόπον διορθούμενος, ὥστε δι᾽ αὐτὸ τὸ ἀγαθὸν καὶ μὴ διὰ φθειρομένην δόξαν γενέσθαι, ἀναλαμβάνει, ἐξαφανίζων τὰς ὁδοὺς τῶν ἁμαρτωλῶν, τουτέστιν τὴν προτέραν ἀγωγὴν ἐν ᾗ περιεπάτει.

ΕΡΩΤΗΣΙΣ 135

Ἐκ τοῦ Ἰώβ· «παρὰ τὸ μὴ ἔχειν σκέπην, πέτραν περιεβάλοντο».

ΑΠΟΚΡΙΣΙΣ

Τὰ μὴ ἔχοντα σκέπην πρότερον, τουτέστιν πίστιν, ἦσαν τὰ (≡14A_198≡> ἔθνη· περιεβάλοντο δὲ πέτραν, τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν.

ΕΡΩΤΗΣΙΣ 136

Εἰ δυνατὸν φυσικὴν ἀπόδειξιν εὑρεθῆναι περὶ τῆς ἁγίας Τριάδος;

ΑΠΟΚΡΙΣΙΣ

Πάντα τὰ ὄντα ἐν τρισὶν τρόποις εἶναι πεπίστευται, ἐν οὐσίᾳ, ἐν διαφορᾷ, ἐν ζωῇ· καὶ ἐκ μὲν τοῦ τῆς οὐσίας τῶν ὄντων λόγου τὸ εἶναί τινα οὐσίαν πιστούμεθα, ὅπερ ἐστὶν ὁ Πατήρ· ἐκ δὲ τῆς διαφορᾶς τῶν ὄντων τὴν σοφίαν, τουτέστιν τὸν Υἱόν—σοφίας γὰρ τὸ ἀπονεῖμαι ἑκάστῃ φύσει τὴν πρόσφορον ἰδιότητα, καὶ εὐκρινῆ καὶ ἄφυρτα καὶ πρὸς ἑαυτὴν καὶ πρὸς τὰ λοιπὰ διατηρεῖν ἕκαστον τῶν γεγονότων—ἐκ δὲ τῆς ζωῆς τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ᾽ ἐπὶ μὲν τοῦ Θεοῦ ταῦτα ἐνυπόστατα εἰσὶν καὶ λέγονται, ἐπὶ δὲ τῶν κτισμάτων συμβεβηκότα.

ΕΡΩΤΗΣΙΣ 137

Ἐκ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου εἰς τὸ «πάντες μὲν εἰσέφερον τὸ κηρυχθὲν αὐτοῖς, οἱ δὲ αὐτεπάγγελτοι ἦσαν καὶ τί σημαίνουσιν τὰ προσαγόμενα»;

ΑΠΟΚΡΙΣΙΣ

Αὐτεπάγγελτοί εἰσιν οἱ ἐκ τῶν ἐνόντων αὐτοῖς φυσικῶν σπερμάτων πρὸς τὸ ἀγαθὸν ἐρχόμενοι, κηρυττόμενοι δὲ οἱ ἐκ διδασκαλίας εἰς τὸ ἀγαθὸν ἐρχόμενοι. Καὶ χρυσὸν μὲν προσφέρει ὁ εὐσεβῶς τὸν περὶ θεολογίας λόγον ποιούμενος, ἄργυρον (≡14A_200≡> δὲ ὁ βίον καθαρὸν καὶ διδασκαλίαν λαμπρὰν καὶ διαφανῆ, λίθους δὲ τιμίους ὁ τὴν πρακτικὴν δυναστείαν θείοις λόγοις κοσμῶν, βύσσον δὲ κεκλωσμένην ὁ τὴν ἕξιν τῆς ἀρετῆς ἐν τοῖς ἀκουσίοις πειρασμοῖς ἀτίνακτον διαφυλάττων καὶ δι᾽ αὐτῶν ὕδατος τρόπον τοὺς ἐγγινομένους τῇ ψυχῇ ἐκ τῆς ἁμαρτίας λογισμοὺς ἀποπλύνων καὶ ἐξασπρύνων, κόκκινον δὲ νενησμένην ὁ τῇ περιουσίᾳ τοῦ λόγου τὰ ἐφ᾽ ἡμῖν ἡδονῇ καὶ πάθη ἐξαφανίζων διὰ τῆς νεκρώσεως τῶν μελῶν τοῦ σώματος, πορφύραν δὲ ὁ τὴν τῶν ὄντων γνῶσιν ἀκριβῶς καὶ ἀπταίστως ἐγκολπισάμενος· ἡ γὰρ πορφύρα κατὰ μίαν ἐπιβολὴν εἰς τὴν γνῶσιν λαμβάνεται· ἐκ πολλῶν γὰρ καὶ διαφόρων σύγκειται εἰδῶν, καθάπερ καὶ ἡ γνῶσις ἐκ πολλῶν καὶ διαφόρων θεωρημάτων. Δέρματα δὲ ἠρυθροδανωμένα προσφέρει ὁ τῇ αἰσθήσει παντελῶς νεκρωθείς, τρίχας δὲ ὁ τὴν παντελῆ πρὸς τὰ παρόντα ἀναισθησίαν κτησάμενος.

ΕΡΩΤΗΣΙΣ 138

Τί ἐστιν τὸ τοῦ ψαλμοῦ "δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ" καὶ πῶς ἐστιν ἐν ταὐτῷ δυνατὸν καὶ τρέμειν καὶ ἀγαλλιᾶσθαι καὶ πῶς πάλιν ἐν τῷ ιη' (18) λέγει "ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος", ὁ δὲ Ἰωάννης φησὶν "ἡ ἀγάπη ἔξω βάλλει τὸν φόβον" καὶ εἰ ἔξω βάλλεται πῶς διαμένει;

ΑΠΟΚΡΙΣΙΣ

Διττὸς ὁ φόβος· ὁ μὲν ἐπὶ ἐγκλήμασιν, ὁ δὲ κατ᾽ ἀξίαν τοῦ ἀγαπωμένου· ἡ οὖν ἀγάπη τὸν ἐπὶ ἐγκλήμασιν φόβον ἀποτίθεται,

τὸν δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀγαπωμένου συντηρεῖ. Ἀγαλλίασις (≡14A_202≡> δέ ἐστιν ἡ ἐπὶ κτήσει τινῶν ἐπίχαρτος διάθεσις, εὐφροσύνη δὲ ἡ ἐπὶ τῶν κτηθέντων ἀπόλαυσις.

ΕΡΩΤΗΣΙΣ 139

Τί σημαίνουσιν αἱ τῷ Φαραὼ καθ᾽ ὕπνον δειχθεῖσαι βόες καὶ οἱ στάχυες;

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα ὁ Φαραὼ ἐπὶ τῆς φύσεως λαμβάνεται· οἱ δὲ βόες οἱ καλοὶ τὴν πρᾶξιν δηλοῦσιν, οἱ δὲ στάχυες τὴν γνῶσιν· ἐν γὰρ τῷ ἑβδοματικῷ τούτῳ χρόνῳ γνῶσις καὶ πρᾶξις ἐνεργοῦνται. Αἱ δὲ ἕτεραι βόες καὶ στάχυες αἱ αἰσχραὶ καὶ ἀνεμόφθοροι δηλοῦσιν τὴν ἄγνοιαν καὶ τὴν κακίαν, αἵτινες ἴσχυσαν καταπιεῖν τήν τε πρακτικὴν τῶν βοῶν ἀκμαιότητα τήν τε γνῶσιν τὴν διὰ τῶν καλῶν σταχύων δηλουμένην. Ἀλλ᾽ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ὁ ἀληθινὸς Ἰωσὴφ ὁ μόνος καὶ προγνώστης καὶ διορθωτὴς τῆς τοιαύτης λιμοῦ, λαμβάνων πίστιν ὥσπερ χρυσὸν καὶ λαμπρὸν βίον ὥσπερ ἀργύριον καὶ ἠθικὴν φιλοσοφίαν ὥσπερ πρόβατα καὶ τὸ εὔδρομον καὶ πρόθυμον τοῦ κατὰ Θεὸν βίου ὥσπερ ἵππους, παρέχει τὸν σῖτον, τουτέστιν τὴν ἀληθῆ γνῶσιν.

ΕΡΩΤΗΣΙΣ 140

Τί ἐστιν ὁ ἐν τῷ Εὐαγγελίῳ κριτὴς τῆς ἀδικίας καὶ τίς ἡ χήρα γυνή;

ΑΠΟΚΡΙΣΙΣ

Κριτὴν ἀδικίας λέγει τὸν φυσικὸν νόμον, ἐκ τῆς παραβάσεως πωρωθέντα καὶ μήτε Θεὸν μήτε ἄνθρωπον ἐντρεπόμενον, χήραν δὲ τὴν χηρεύουσαν ἀγαθῶν ἔργων ψυχήν. Αὕτη γὰρ εἰ εἰς μετάμελον ἔλθοι, ἐκβιάζεται τὸν φυσικὸν νόμον διοχλοῦσα διὰ τῆς ἀσκήσεως καὶ ἐγκρατείας ἀποσχέσθαι τῶν (≡14A_204≡> παρὰ φύσιν. Καὶ ἐάν, φησίν, ὁ νοῦς διὰ τῆς ἐσπουδασμένης καὶ φιλοπόνου προσεδρείας ἰσχύσῃ ἀνύσαι καὶ τὰ ὑπὲρ φύσιν, πόσῳ μᾶλλον, φησίν, ὁ Θεὸς εἰσακούσεται τῶν διὰ προσευχῆς ἐκτενοῦς καὶ ἀναιδοῦς προσεδρείας «βοώντων πρὸς αὐτόν»;

ΕΡΩΤΗΣΙΣ 141

Τίς ἡ κεφαλὶς ἡ ἐπιδοθεῖσα Ἰεζεκιὴλ τῷ προφήτῃ ἐν ᾗ ἐγέγραπτο «θρῆνος καὶ μέλος καὶ οὐαί», καὶ πῶς ἐγλυκάνθη ἐν τῷ στόματι αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ κεφαλίς ἐστιν ὁ θεῖος Λόγος· ἐγγέγραπται δὲ ἐν αὐτῷ θρῆνος, τουτέστιν αἱ ἀπειλαὶ τῶν κολάσεων, μέλος αἱ τῶν ἀγαθῶν ἐπαγγελίαι, οὐαὶ δὲ καθότι οἱ μήτε τῷ φόβῳ τῶν κολάσεων μήτε τῇ προτροπῇ τῶν ἐπαγγελιῶν σωφρονιζόμενοι καὶ βελτίους γινόμενοι τὸ οὐαὶ τῆς αἰωνίου κολάσεως πάντως ἐκδέξονται. Τὸ δὲ γλυκανθῆναι ἐν τῷ στόματι τοῦ προφήτου τὴν κεφαλίδα τοῦτο δηλοῖ, ὅτι ὁ ἀεὶ μελετῶν τὰ προειρημένα καὶ προσέχων τοῖς ἀπειλουμένοις τε καὶ ἐπηγγελμένοις τῇ ἐλπίδι γλυκαίνεται.

ΕΡΩΤΗΣΙΣ 142

Τίνος χάριν μετὰ δέκα ἡμέρας τῆς ἀναλήψεως τοῦ Κυρίου τὸ Πνεῦμα κατῆλθεν;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν τὰ θεῖα πεπαιδευμένων, ὅτι ἐπειδὴ ἐννέα τάξεις κατὰ τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην αἱ ἀγγελικαὶ δυνάμεις εἰσίν, ἀνιὼν κατὰ τὸ ἀνθρώπινον ὁ Κύριος—κατὰ γὰρ τὸ θεῖον πάντα πληροῖ—ἑκάστῳ τάγματι μίαν ἡμέραν ἀπένειμεν (≡14A_206≡> ἀπὸ τῆς ἐσχάτης ἕως τῆς τελευταίας· ἐδέοντο γὰρ καὶ αὗται τῆς τοῦ Κυρίου πρὸς αὐτὰς ἐπιδημίας· ἐν αὐτῷ γάρ, κατὰ τὸν Ἀπόστολον, ἀνεκεφαλαιώθη οὐ μόνον τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ ἐν οὐρανῷ. Καὶ μετὰ τοῦτο ἐνεφανίσθη τῷ Θεῷ καὶ Πατρὶ καὶ οὕτως τὸ Πνεῦμα κάτεισιν. Ἔστιν δὲ θεωρῆσαι τὸ προκείμενον καὶ κατ᾽ ἄλλον θεωρίας τρόπον· ἐπειδὴ γὰρ ὁ τοῦ Θεοῦ Λόγος ἐν ταῖς αὐτοῦ δέκα ἐντολαῖς ἐγκέκρυπται, σωματοῦται δὲ ἐν ἡμῖν συγκαταβαίνων ἡμῖν διὰ τῆς πράξεως, αὖθίς τε ἀνάγει ἡμᾶς διὰ τῆς γνώσεως ὑψῶν ἡμᾶς, μέχρις οὗ ἔλθωμεν εἰς τὴν πάντων ὑψηλοτέραν τῶν ἐντολῶν, τὴν λέγουσαν "Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν"· ὅτε γὰρ ἐκ πάντων ἀφεθείς, μᾶλλον δὲ πάντα ἀφεὶς ὁ ἡμέτερος νοῦς εἰς αὐτὸν τὸν Θεὸν καταλήξει, τότε τὰς πυρίνας γλώσσας δέχεται, Θεὸς κατὰ χάριν γινόμενος.

ΕΡΩΤΗΣΙΣ 143

Τί δήποτε λέγοντος τοῦ Λουκᾶ ἐν ταῖς Πράξεσιν περὶ τοῦ Παύλου ὅτι «ἔσπευδεν, εἰ δυνατὸν ἦν αὐτῷ, ποιῆσαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς εἰς Ἱεροσόλυμα», φαίνεται γονυκλισίαν ποιήσας, ὃ τοῖς κανόσιν ἀπηγόρευται;

ΑΠΟΚΡΙΣΙΣ

Οὐ περὶ αὐτῆς τῆς Πεντηκοστῆς ἐν ᾗ τὸ Πνεῦμα κατῆλθεν λέγει, ἀλλ᾽ ἐπειδὴ αἱ πεντήκοντα ἡμέραι ἡμέρα λέγεται τῆς Πεντηκοστῆς, ἔσπευδεν ὁ Παῦλος τὴν ἀπὸ τῆς πασχαλίας πρώτην ἡμέραν ποιῆσαι εἰς Ἱεροσόλυμα, ὡς δῆλόν ἐστιν ὅτι ἐν ταῖς νηστείαις ἔκλινεν γόνυ.

(≡14A_208≡> ΕΡΩΤΗΣΙΣ 144

Τί δήποτε ὁ ἀπόστολος Παῦλος Ῥωμαῖον ἑαυτὸν ἀποκαλεῖ καὶ πρὸς τὸν χιλίαρχον διαλεγόμενος ἔφη ὅτι "ἐγὼ δὲ καὶ γεγέννημαι";

ΑΠΟΚΡΙΣΙΣ

Οἱ κατὰ πᾶσαν χώραν, ὡς δή τι μέγα τὸ Ῥωμαῖοι καλεῖσθαι νομίζοντες, παρέχοντες δόσεις ἀπεγράφοντο Ῥωμαῖοι καὶ ἔτρεχεν εἰς τὸ γένος τὸ ὄνομα· ἐπειδὴ οὖν καὶ οἱ γονεῖς τοῦ ἀποστόλου ὄντες ἐν Ταρσῷ ἀπεγράφησαν εἰς τὸ καλεῖσθαι Ῥωμαῖοι, εἰκότως ὁ ἀπόστολος ὡς ἐξ αὐτῶν γεννηθεὶς λέγει ὅτι "ἐγὼ δὲ καὶ γεγέννημαι".

ΕΡΩΤΗΣΙΣ 145

Ἐκ τοῦ Ἀμὼς τοῦ προφήτου· «καὶ συναθροισθήσονται πόλεις δύο ἢ τρεῖς εἰς μίαν πόλιν τοῦ πιεῖν ὕδωρ καὶ οὐ μὴ ἐμπλησθῶσιν». Τί δηλοῦσιν αἱ πόλεις;

ΑΠΟΚΡΙΣΙΣ

Πόλεις ἐνταῦθα τὰς ψυχὰς ὑποληπτέον διὰ τὸ ὥσπερ οἰκίαις συγκεῖσθαι καὶ δεκτικὰς εἶναι τῶν ἀρετῶν· δύο δὲ πόλεις τὰς διὰ πράξεως καὶ θεωρίας πεπολισμένας ψυχάς· τρεῖς δὲ τὰς διὰ τῆς ἀνενδυάστου πίστεως τὴν θεολογίαν κατορθούσας. Ἐπεὶ οὖν ὁ προφήτης ἐν εἴδει κατάρας τοῦτο ἔθηκεν, σημαίνει ὅτι ἡνίκα

γένηται λιμός, οὐκ ἄρτου καὶ ὕδατος ἀλλὰ «λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου», κἂν εἰς τὸ μέτρον φθάσωσιν τῶν εἰρημένων ἀρετῶν αἱ τοιαῦται ψυχαί, ἀμελήσωσιν δέ, δοκοῦσιν μὲν ζητεῖν γνῶσιν, ἐπειδὴ δὲ τὴν πρᾶξιν οὐ μετέρχονται, ἀποτυγχάνουσιν· κἂν εἰ συνάγεσθαι δοκοῦσιν εἰς μίαν πόλιν, τουτέστιν εἰς τὸν διδάσκαλον, οὐκ ἐμπιπλῶνται γνώσεως· οὐδὲ γὰρ αὐτῷ (≡14A_210≡> δίδοται τῆς διδασκαλίας ἡ χάρις, τοῦ δύνασθαι ποτίσαι τοὺς ἐνδεεῖς τὴν θείαν γνῶσιν.

ΕΡΩΤΗΣΙΣ 146

Ἐκ τοῦ αὐτοῦ· «πόλις ἐξ ἧς ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ἑκατόν, καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατόν, ὑπολειφθήσονται δέκα».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ πᾶς ἀριθμὸς εἰς τέσσαρας δεκάδας ἐμπεριέχεται—οἷον, ἡ πρώτη ἀπὸ τῆς μονάδος δεκάς, εἶτα πάλιν αὐτὴ τῆς ἑκατοντάδος ἐστὶν μονάς, εἶτα ἑκατοντὰς μονάς ἐστιν τῆς χιλιάδος, πάλιν ἡ χιλιὰς μονάς ἐστιν τῆς μυριάδος—ἐπεὶ οὖν καὶ ὁ τῆς ἀρετῆς ἀριθμὸς κατὰ πρόσβασιν πληθύνεται καὶ τὴν προσθήκην λαμβάνει, τοῦτο οἶμαι δηλοῦσθαι διὰ τῶν ἀριθμῶν, ὅτι τὰς δέκα ἐντολὰς οὕτως κατορθώσας ὥστε ἑκάστην ἐντολὴν ἐμπεριέχεσθαι ταῖς λοιπαῖς, οὗτος δεκαπλασιάσας ταύτας ἦλθεν εἰς τὴν ἑκατοντάδα καὶ κατὰ τὴν Σάρραν τὸ «ρ» προσθήκην ἐδέξατο. Ὅστις δὲ καὶ τὴν ἐπὶ τούτοις γνῶσιν κατώρθωσεν δεκαπλασιάσας τὰ ἑκατὸν ἦλθεν εἰς τὴν χιλιάδα. Ἐπειδὴ δὲ καὶ τοῦτο τῷ προφήτῃ ἐν εἴδει κατάρας εἴρηται, τοῦτο δηλοῖ ὅτι διὰ τῆς ἀμελείας ὁ εἰς τὸ μέτρον τῆς κατὰ τὴν ἀρετὴν χιλιάδος ἐλθὼν ὑφίεται καὶ εἰς τὴν ἑκατοντάδα ἔρχεται· ὡσαύτως καὶ ὁ ἀπὸ τῆς κατὰ τὴν πρᾶξιν ἑκατοντάδος εἰς μόνην τὴν κατὰ τὸ ἦθος τῶν ἐντολῶν παρατήρησιν ἔρχεται ἢ καὶ Ἰουδαϊκῶς ταύτας ἐπιτελεῖ.

ΕΡΩΤΗΣΙΣ 147

Ἐκ τοῦ αὐτοῦ· «οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου, καὶ αὕτη ἐστὶν σκότος καὶ οὐ φῶς, ὃν τρόπον ὅτ᾽ ἂν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος καὶ ἐμπέσῃ αὐτῷ ἄρκος καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ (≡14A_212≡> καὶ ἀπερείσηται τὰς χεῖρας αὐτοῦ εἰς τὸν τοῖχον καὶ δάκῃ αὐτὸν ὄφις».

ΑΠΟΚΡΙΣΙΣ

Ἡμέρα Κυρίου ἐστὶν ὁ φωτισμὸς καὶ ἡ γνῶσις τοῦ Κυρίου· ὅστις οὖν ἐπιθυμεῖ ἐπιλαβέσθαι γνώσεως Θεοῦ ἄνευ πράξεως, οὗτος εἰκότως ταλανίζεται· ὑπὸ γὰρ τῶν παθῶν διοχλούμενος, θυμοῦ τε καὶ ἐπιθυμίας, φεύγειν τὸ δακεῖν ζητῶν ἐκ τοῦ λέοντος, τουτέστιν τοῦ θυμοῦ, ἐμπίπτει εἰς τὴν ἄρκον τῆς ἐπιθυμίας· εἶτα ἐκ τούτων στενοχωρούμενος ἐμπηδᾷ εἰς τὸν οἶκον καὶ τὰς χεῖρας εἰς τὸν τοῖχον ἀπερείδεται καὶ δάκνει αὐτὸν ὄφις· οἶκός ἐστιν ἡ ψυχή, τεῖχος δὲ τὸ σῶμα· ἐπειδὰν οὖν τὰς πρακτικὰς τῆς ψυχῆς δυνάμεις τῇ ἀπολαύσει τοῦ σώματος ἀπερείσηται, ἐξέρχεται ἡ ἡδονή—αὐτὴ γὰρ ὁ ὄφις—καὶ δάκνει αὐτόν· δι᾽ ἑκάστης γὰρ τοῦ σώματος αἰσθήσεως ὥσπερ δι᾽ ὀπῆς ἕρπουσα ἡ ἡδονὴ δάκνει τὴν ἀθλίαν ψυχήν. Τῷ οὖν οὕτως ἀσθενοῦντι τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ὁ τῆς γνώσεως ἥλιος σκότος ἐστὶν καὶ τύφλωσις.

ΕΡΩΤΗΣΙΣ 148

Ἐκ τοῦ Ψαλτηρίου· «τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως».

ΑΠΟΚΡΙΣΙΣ

Ὡς ἁγνίζοντα ἡμᾶς ἀπὸ πάσης κηλίδος ἁμαρτιῶν εἴρηνται ἁγνά· ἀργύριον δὲ πεπυρωμένον διὰ τὸ διαφανὲς αὐτῶν καὶ φωτιστικὸν ὡς ἐν ἀργύρῳ· καὶ διὰ τὸ θεῖον αὐτῶν καὶ δοκιμαστικὸν τῶν ἡμετέρων καρδιῶν· γῆ γὰρ ἡ καρδία ἐν τῷ Εὐαγγελίῳ εἴρηται· κεκαθαρμένον δὲ ἑπταπλασίως ὅτ᾽ ἂν ἑκάστην ἐντολὴν ἑπταπλασίως καθαίρομεν. Καλὸν δὲ ἐπὶ μιᾶς (≡14A_214≡> ἐντολῆς σαφηνισθῆναι τὸ λεγόμενον· διαγορεύει ὁ νόμος τὸ οὐ φονεύσῃς· ὅστις οὖν ταύτην τὴν ἐντολὴν θέλει ἑπταπλασίως καθᾶραι, οὐ μόνον τοῦ διὰ χειρὸς φόνου ἀπέχεται, ἀλλὰ κἂν ἴδῃ πεινῶντα τρέφει, κἂν ἴδῃ διψῶντα ποτίζει, κἂν ἴδῃ γυμνὸν περιβάλλει, κἂν ἴδῃ ξένον συνάγει, κἂν ἴδῃ νοσοῦντα οὐ παροῤῥᾷ, κἂν ἐν φυλακῇ ἴδῃ τρέχει πρὸς αὐτόν· καὶ ἁπλῶς ὁ ἑνὸς τούτων ἀμελήσας κατὰ τοῦτον φόνον εἰργάσατο· ἔασεν γὰρ ὅσον τὸ ἐπ᾽ αὐτῷ ἀποθανεῖν, δυνάμενος ἀνακτήσασθαι τὸν δεόμενον αὐτοῦ. Συνάπτων οὖν τις τὰς ἀπηριθμημένας ἓξ τοῦ Κυρίου ἐντολὰς τῆς νομικῆς οὐ φονεύσῃς ἐντολῆς, καθαίρει τὸ λόγιον Κυρίου ἑπταπλασίως· τοῦτο δὲ καὶ ἐπὶ ἑκάστης ἐντολῆς δυνατὸν ἐφαρμόζειν.

ΕΡΩΤΗΣΙΣ 149

Ἐκ τῶν Παροιμιῶν· «σπάνιον εἰσάγαγε σὸν πόδα πρὸς τὸν σεαυτοῦ φίλον, μήποτε πλησθείς σου μισήσῃ σε».

ΑΠΟΚΡΙΣΙΣ

Φίλον ἐνταῦθα τὸ σῶμα ἡμῶν λέγει διὰ τὴν πρὸς αὐτὸ φυσικὴν ἕνωσίν τε καὶ στοργήν. Παραινεῖ οὖν ὁ λόγος τὴν περὶ τὸ σῶμα πρόνοιαν μὴ πεφροντισμένην ποιεῖσθαι, ἀλλὰ μόνῳ τῷ τῆς ψυχῆς ἴχνει τὴν αὐτοῦ πρόνοιαν ποιεῖσθαι, καὶ τοῦτο δὲ σπανίως, μήποτε τὴν ἀνάπαυσιν αὐτοῦ περὶ πολλοῦ ποιουμένου σου, τὰ τῶν ἐχθρῶν καὶ μισούντων ἐν σοὶ ἐνδείξηται.

ΕΡΩΤΗΣΙΣ 150

Τί σημαίνει τὸ ἀπὸ τοῦ πατριάρχου Ἰακὼβ λεγόμενον τὸ «ἐγὼ ἀπετίννυον κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός»;

(≡14A_216≡> **ΑΠΟΚΡΙΣΙΣ**

«Κλέμματα ἡμέρας» νόησον τὰ διὰ τῶν ἔξωθεν αἰσθήσεων συμβαίνοντα ἡμῖν ἀπὸ τοῦ πονηροῦ ἡττήματα, ὑπὲρ ὧν ὁ πατριάρχης ἀπετίννυεν τοὺς τῆς ἀσκήσεως πόνους. Κλέμματα δὲ νυκτός εἰσιν ἅπερ διὰ τῶν ἔνδον λογισμῶν συλᾷ ἡμᾶς ὁ ἐχθρός, ὑπὲρ ὧν χρὴ ἡμᾶς κατὰ τὸν πατριάρχην ἀποτιννύειν πόνους καὶ ἀγρυπνίας καὶ τὰ λοιπὰ τῆς ἀσκήσεως εἴδη.

ΕΡΩΤΗΣΙΣ 151

Τί σημαίνει ἡ κατὰ τὸν νόμον περὶ τῆς ἀγνοίας τοῦ φόνου νευροκοπουμένη ἐν τῇ φάραγγι δάμαλις;

ΑΠΟΚΡΙΣΙΣ

Σημαίνει διὰ τούτων τὸ πνευματικὸν βούλημα τῆς Γραφῆς ὅτι οὐ μόνον περὶ τῶν προδήλων ἁμαρτημάτων χρὴ δεδοικέναι ὡς μέλλοντας ὑπὲρ αὐτῶν διδόναι δίκην, ἀλλὰ καὶ ὑπὲρ τῶν

ἀγνώστως ἡμῖν πραττομένων δεδοικότας, ἀεὶ τὴν δάμαλιν, τουτέστιν τὴν σάρκα ἡμῶν, νευροκοπεῖν ἐν τῇ φάραγγι τῆς ἐγκρατείας καὶ τῆς ἀσκήσεως. Διὰ τοῦτο δὲ τὴν δάμαλιν ζῶσαν κατελίμπανον, ἵνα καὶ ἡμεῖς μάθωμεν μὴ τὸ σῶμα ἀποκτέννειν, ἀλλὰ τὰς ἐπανισταμένας ἡδονὰς νευροκοπεῖν καὶ δαμάζειν.

ΕΡΩΤΗΣΙΣ 152

Τί σημαίνουσιν Ναδὰβ καὶ Ἀβιοὺδ οἱ «προσενέγκαντες πῦρ ἀλλότριον» καὶ διὰ τοῦτο κατακαέντες;

ΑΠΟΚΡΙΣΙΣ

Οἱ ἀεὶ τῷ Θεῷ ἱερατεύοντες, καὶ προσάγοντες ἑαυτοὺς τῷ Θεῷ θυσίαν ζῶσαν, καὶ τὴν ζέσιν τοῦ ἁγίου Πνεύματος ἔχοντες (≡14A_218≡> ἐν ἑαυτοῖς κατὰ τὸν Κλεόπαν, τὸ ἴδιον πῦρ τῷ Θεῷ προσάγουσιν· ὅτ᾽ ἂν δὲ ῥαθυμήσαντες ἔξω ταύτης τῆς καταστάσεως γένωνται καὶ τὴν ἕξαψιν τῶν παθῶν ἐν ἑαυτοῖς συναγάγωσιν, τότε τὸ ἀλλότριον πῦρ ἐπεισήγαγον καὶ κατακαίονται τὴν συνείδησιν τῷ πυρὶ τῶν ἐλέγχων.

ΕΡΩΤΗΣΙΣ 153

Τίνος χάριν ἡ σεμίδαλις ταῖς νομικαῖς θυσίαις ἀεὶ συμπαραλαμβάνεται καὶ ποτὲ μὲν ἐλαίῳ πεφυραμένη, ποτὲ δὲ εἰς κλίβανον, ποτὲ δὲ εἰς τήγανον;

ΑΠΟΚΡΙΣΙΣ

Τὴν σεμίδαλιν ἐπὶ τοῦ λόγου ληπτέον ὡς λογικῶν οὖσαν τροφήν· καὶ ὅτε μὲν ἐλαίῳ πεφυραμένη, τὸν λόγον δηλοῖ μετὰ τοῦ φωτισμοῦ τῆς γνώσεως· ὅτ᾽ ἂν δὲ εἰς τήγανον, δηλοῖ τὸν λόγον δεδοκιμασμένον καὶ συνεστῶτα ἐκ τῶν ἔνδοθεν προσπιπτόντων ἡμῖν ἡδονικῶν πειρασμῶν· ὅτ᾽ ἂν δὲ εἰς κλίβανον, δηλοῖ τὸν λόγον στερρὸν ὄντα διὰ τῆς ἐν ὑπομονῇ δοκιμασίας τῶν ἔξωθεν ἡμῖν προσπιπτόντων πειρασμῶν.

ΕΡΩΤΗΣΙΣ 154

Διατί ἐν τῷ ἑβδόμῳ μηνὶ εἰς τὴν πεντεκαιδεκάτην ἡμέραν ἑπτὰ ἡμέρας ἑορταζόντων τῶν κατὰ τὸν νόμον, προσῆγον εἰς τὴν πρώτην ἡμέραν ιδ' (14) μόσχους καὶ ἑκάστης ἡμέρας ὑφαίρουσαν τὸν ἕνα μόσχον ἕως οὗ ἦλθον εἰς τοὺς ἑπτά;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ τὸν λόγον τοῦ Κυρίου στραφῆναι δεῖ καὶ γενέσθαι ὡς τὰ παιδία, τὸ δὲ παιδίον ἐστέρηται πάντη τῆς ἐμπαθοῦς κινήσεως, ἡνίκα δὲ γένηται δεκατεσσάρων ἐτῶν εὐθέως ἡ ἐμπαθὴς κίνησις ἄρχεται ἐν αὐτῷ διεγείρεσθαι, τοῦτο οὖν, ὡς (≡14A_220≡> οἶμαι, τὸ μυστικὸν τοῦ νόμου παραδηλοῖ, ὅτι χρὴ καὶ τῆς φυσικῆς κινήσεως τὴν μείωσιν τῷ Θεῷ ἱερουργεῖν, μέχρις ἂν εἰς τὴν τελείαν ἔλθωμεν ἀπάθειαν.

ΕΡΩΤΗΣΙΣ 155

Τί σημαίνουσιν οἱ σν' (250) ἄνδρες οἵτινες ἐπεσυνεστήσαντο Μωυσῇ καὶ προσφέροντες τὸ θυμίαμα, ἐξῆλθεν πῦρ παρὰ Κυρίου καὶ κατέφαγεν αὐτοὺς καὶ προσέταξεν Κύριος τῷ Ἐλεάζαρ ἀνελέσθαι τὰ πυρεῖα αὐτῶν καὶ ποιῆσαι αὐτὰ λεπίδας ἐλατὰς καὶ προσαρτῆσαι τῷ θυσιαστηρίῳ;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πεντήκοντα ἀριθμὸς ἐπὶ τῶν θείων ἀεὶ λαμβάνεται ὡς ὑπερβατικὸς τῶν ὑπὸ χρόνον· ὁ δὲ τῶν διακοσίων ἀριθμὸς ἐπὶ τῶν αἰσθητῶν καὶ αἰσθήσεων διὰ τὴν τοῦ τέσσαρα πρὸς τὸν πέντε ἀριθμὸν σύνθεσιν. Ὅσοι οὖν τὰ αἰσθητὰ αἰσθητῶς λαμβάνουσιν καὶ τὰς θείας ἀρετὰς διὰ τὰ αἰσθητὰ μετέρχονται, οὗτοι ἐπισυνίστανται τῷ θείῳ νόμῳ καὶ τῷ πυρὶ τῶν ἐλέγχων τὴν συνείδησιν αὐτῶν κατακαίονται.

Καὶ τότε ὁ ἱερατικὸς τῆς διδασκαλίας λόγος τὰ πυρεῖα αὐτῶν λαμβάνει, τουτέστιν τὸν νοῦν ἐν ᾧ τὸν οὐ κατ᾽ ἐπίγνωσιν ζῆλον τῷ Θεῷ ἐνόμιζον προσάγειν, καὶ διὰ τῆς διδασκαλίας τὸ ἐπικείμενον αὐτῷ πάχος ἐλαύνει καὶ λεπτύνει καὶ τῷ θυσιαστηρίῳ, τουτέστιν τῇ θείᾳ γνώσει, προσάγει.

ΕΡΩΤΗΣΙΣ 156

Τίνος χάριν «ἄλλαγμα κυνὸς καὶ μίσθωμα πόρνης» ἀπαγορεύει ὁ νόμος;

(≡14A_222≡> **ΑΠΟΚΡΙΣΙΣ**

Σημαίνει διὰ τούτων ὅτι δεῖ τῷ Θεῷ τὰς ἀρετὰς προσάγειν θυμοῦ καὶ ἐπιθυμίας ἀνεπιμίκτους, θυμὸν λέγων τὸν κύνα, πόρνην δὲ τὴν ἐπιθυμίαν.

ΕΡΩΤΗΣΙΣ 157

Ἐπειδὴ προδήλως ὁ κα' (21) ψαλμὸς εἰς τὸν Κύριον ἀναφέρεται, πῶς νοήσωμεν τὸ «ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος»;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς διὰ τὴν ἄφατον αὐτοῦ περὶ ἡμᾶς φιλανθρωπίαν ἐγένετο καὶ ἐκλήθη σκώληξ· ὡς γὰρ ὁ σκώληξ ἄνευ συνουσίας τίκτεται, οὕτως καὶ ὁ Κύριος ἐκτὸς σπορᾶς συνελήφθη. Ἀλλὰ καὶ ὡς σκώληξ δέλεαρ γέγονεν τῷ διαβόλῳ· περιχανὼν γὰρ ὡς σκώληκι τῇ σαρκί, τῇ θεότητι περιεπάρη. Ἀλλὰ καὶ τοῖς ἐχθροῖς ἐστιν σκώληξ· τῇ γὰρ σοφίᾳ ὁ σοφὸς εὐθὺς εὑρίσκεται, τῷ δὲ ἄφρονι σκολιός. Ἀλλὰ καὶ ἐν ἡμῖν γίνεται σκώληξ ἡνίκα ἁμαρτάνομεν, τὴν συνείδησιν ἡμῶν διελέγχων καὶ κατατρώγων.

ΕΡΩΤΗΣΙΣ 158

Τί ἐστιν τὸ ἐν τῇ Γενέσει γεγραμμένον τὸ «καὶ ἔταξεν τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς»;

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ τὸ ξύλον τὸ αἰσθητὸν τροφὴ γίνεται τῆς σαρκός, οὕτως καὶ τὸ ξύλον τῆς ζωῆς, ὅπερ ἐστὶν ὁ Κύριος, τροφὴ καὶ ζωὴ γίνεται τῶν ἡμετέρων ψυχῶν. Ὁδὸς δὲ ἡ ἀπάγουσα πρὸς (≡14A_224≡> αὐτόν ἐστιν αἱ ἀρεταί· φυλάττεται δὲ αὐτὴ ὑπὸ τῶν χερουβὶμ καὶ τῆς φλογίνης ῥομφαίας· χερουβὶμ δὲ ἑρμηνεύεται ‘πλῆθος γνώσεως·’ διὰ δὲ τῆς γνώσεως ὁ πόθος ἡμῖν ὁ πρὸς τὸν Θεὸν ἐγγίνεται, διὰ δὲ τῆς φλογίνης ῥομφαίας, τουτέστιν τῆς διακρίσεως τῆς τῶν μοχθηρῶν ἀναλωτικῆς, ὁ φόβος ἡμῖν προσγίνεται· ἄρα οὖν φόβος καὶ πόθος ἐστὶν ὁ φυλάσσων τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Στρέφεσθαι δὲ λέγεται ἡ ῥομφαία· ὅτ᾽ ἂν γὰρ

ἁμαρτάνομεν διὰ τῆς συνειδήσεως ἡμῶν διελέγχουσα κατὰ πρόσωπον ὑπαντᾷ, ὅτε δὲ μετανοῶμεν δίδωσι πάροδον.

ΕΡΩΤΗΣΙΣ 159

Ἐκ τοῦ Ἀποστόλου· «Ὅστις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν ἢ ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, τὸ πῦρ αὐτὰ δοκιμάσει. Εἴ τινος οὖν τὸ ἔργον μενεῖ ὃ ἐποικοδόμησεν, μισθὸν λήψεται· εἴ τινος δὲ τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός».

ΑΠΟΚΡΙΣΙΣ

Θεμέλιός ἐστιν ἡ τοῦ Χριστοῦ πίστις. Ἐποικοδομεῖ δέ τις ἐν αὐτῇ ὡς χρυσὸν μὲν τὴν θεολογικὴν μυσταγωγίαν, ὡς ἄργυρον δὲ τὸν διαφανῆ βίον, λίθους δὲ τιμίους τοὺς εὐσεβεῖς λογισμούς, ξύλα δὲ τὴν περὶ τὰ αἰσθητὰ προσπάθειαν, χόρτον δὲ ὁ τὴν ἀλογίαν τρεφόμενος, καλάμην δὲ ὁ τὴν φθορὰν ἐργαζόμενος. Καὶ ἐπὶ μὲν τῶν ἐχόντων τὰς ἀγαθὰς πράξεις ἡ τῆς γνώσεως ἡμέρα δηλοῖ ὅτι ἐν πυρί, τουτέστιν ἐν τῷ Πνεύματι, γέγονεν ἡ τούτων ἀποκάλυψις. Ἐν δὲ τοῖς ἁμαρτάνουσιν τὰ ἔργα κατακαίονται, τῆς διαγνώσεως δικαιούσης τὴν συνείδησιν καὶ μειούσης τὰς ἁμαρτίας διὰ τῆς μετανοίας καὶ σῳζούσης τὸν ἄνθρωπον, ζημιούσης δὲ τοῦ προλαβόντος χρόνου τὴν ἀργίαν τῶν ἀρετῶν. Ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι τὰ ἔργα τῆς ἁμαρτίας (≡14A_226≡> εἰς ἀνυπαρξίαν χωροῦσιν, τῆς φύσεως τὰς ἰδίας δυνάμεις σώας ἀπολαμβανούσης διὰ τοῦ πυρὸς τῆς κρίσεως.

ΕΡΩΤΗΣΙΣ 160

Τί ἐστιν ὅπερ ὁ Δαβὶδ ψάλλει λέγων "δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου";

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ κατὰ φύσιν δοῦλοί ἐσμεν τοῦ Θεοῦ, τῆς δὲ παιδίσκης αὐτοῦ τῆς σοφίας υἱοί, δοθῆναι ἡμῖν εὔχεται πρῶτον τὸ κράτος, τουτέστιν τὴν κατὰ τῶν παθῶν δυναστείαν, καὶ τότε διὰ τοῦτο ἡ σωτηρία ἡμῖν περιγίνεται.

ΕΡΩΤΗΣΙΣ 161

Ἐπειδὴ ἐν ταῖς Βασιλείαις γέγραπται ὅτι ὁ Θεὸς «ἐπέσεισεν τὸν Δαβὶδ» ἀριθμῆσαι τὸν λαόν, ἐν δὲ ταῖς Παραλειπομέναις τὸν διάβολον λέγει, πῶς οὖν δειχθήσεται ἡ θεία Γραφὴ ἑαυτῇ συμφωνοῦσα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ Ἀπόστολος Θεὸν τοῦ αἰῶνος τούτου λέγει τὸν διάβολον, κατὰ τοῦτο ἐκλημπτέον τὸ τῶν Βασιλειῶν. Ἢ καὶ ἄλλως· ἐπειδὴ χωρὶς τῆς τοῦ Θεοῦ προνοίας οὐδὲν γίνεται, ἀλλ᾽ εἴτε κατὰ εὐδοκίαν, εἴτε κατ᾽ οἰκονομίαν, εἴτε κατὰ συγχώρησιν τὰ πάντα γίνονται, τὸ ἐν ταῖς Βασιλείαις γεγραμμένον ὅτι ὁ Θεὸς ἐπέσεισεν ἀντὶ τοῦ "παρεχώρησεν" νοεῖν ἐστιν εὐσεβές, ἐν δὲ ταῖς Παραλειπομέναις τὸν διάβολον τὸν ἐνεργήσαντα καὶ αἴτιον γενόμενον. Ἑβδομήκοντα δὲ χιλιάδες πίπτουσιν ἢ οἱ (≡14A_228≡> εὑρεθέντες μετὰ Ἀβεσαλὼμ ἢ οἱ τὸ πάθος ἔχοντες τῆς οἰήσεως καὶ ὑπερηφανίας. Κατὰ δὲ τὴν θεωρίαν, τοῦτο σημαίνει ὅτι πᾶς Δαυΐδ, ὁ μὴ κατὰ διάθεσιν ἀλλὰ συναρπαγὴν ἐπάρσεως ἀπογεννήσας

λογισμόν, μεταγνοὺς αἰτεῖται τὸν Θεόν, καὶ θνῄσκουσιν οἱ περὶ τὰ χρονικὰ καὶ πρόσκαιρα λογισμοί· ὁ γὰρ ἑβδομηκοστὸς ἀριθμὸς τὴν χρονικὴν κίνησιν σημαίνει διὰ τὸν ἑβδοματικὸν κύκλον. Διὰ τοῦτο γὰρ παραιτήσασθαι ἄμεινον τοῦ ἀπὸ τῶν ἐχθρῶν δαιμόνων διώκεσθαι καὶ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.

ΕΡΩΤΗΣΙΣ 162

Τί σημαίνει ὁ παραλυτικὸς ὁ διὰ τῆς στέγης ὑπὸ τεσσάρων χαλώμενος καὶ εἰ δυνατὸν κατὰ τὴν ἱστορίαν ἀποστεγασθῆναι τὸν οἶκον;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὴν ἱστορίαν πάντως ἀπεστεγάσθη ὁ οἶκος, ἐπειδὴ οἱ τῶν τόπων ἐκείνων αὐτόπται γενόμενοί φασιν τὰς στέγας τῶν οἴκων ἀπὸ λίθου κισηρήτου εἶναι ἐλαφροτάτου, ὥστε τὸν ἀποστεγάσαι βουλόμενον εὐκόλως καὶ συντόμως δύνασθαι τοῦτο ποιεῖν. Κατὰ δὲ τὸν τῆς ἀναγωγῆς τρόπον, παραλυτικός ἐστιν πᾶς νοῦς ἐν ἁμαρτίαις νοσῶν καὶ μὴ δυνάμενος διὰ τῆς φυσικῆς θεωρίας—αὕτη γὰρ ἡ θύρα—ἰδεῖν τὸν λόγον· διὰ τῆς πίστεως ἀποστεγάσας τὸ κάλυμμα τῆς παχύτητος τοῦ νομικοῦ γράμματος, διὰ τῶν τεσσάρων ἀρετῶν χαλᾶται ἐκ τοῦ ματαίου ὕψους πρὸς τὸν ἑαυτὸν κενώσαντα λόγον καὶ τῇ πίστει καὶ τῇ πράξει λαμβάνει τὴν ἴασιν.

ΕΡΩΤΗΣΙΣ 163

Τί σημαίνει ἡ Βαβυλωνία κάμινος;

(≡14A_230≡> **ΑΠΟΚΡΙΣΙΣ**

Διττῶς τοὺς πειρασμοὺς προσγίνεσθαι ἡμῖν συμβαίνει· ἑκουσίως διὰ τῶν ἐν ἡμῖν ἡδονικῶν παθῶν καὶ ἀκουσίως διὰ τῶν ἔξωθεν ἐπιφορῶν. Καὶ ὅτε μὲν ἑκουσίως, παρακελευομένου τοῦ Ναβουχοδονόσορ, τουτέστιν τοῦ διαβόλου, ἐξάπτομεν ἑαυτοῖς τὴν κάμινον τῶν παθῶν, ὑποκαίοντες θυμὸν μὲν ὡς κληματίδα, ἐπιθυμίαν δὲ ὡς πίσσαν, ἡδονὴν δὲ ὡς τὴν νάφθαν, τὴν τοῦ λόγου δὲ παρατροπὴν ὡς στυππίον—τὸ γὰρ λίνον ἐπὶ τοῦ λόγου λαμβάνεται, ὅθεν καὶ οἱ ἱερεῖς ἱερατεύοντες λίνα ἐφόρουν—ὅτ᾽ ἂν οὖν ὁ λόγος παρατραπῇ, γίνεται στυππίον καὶ δι᾽ αὐτοῦ εὐχερῶς τὰ λοιπὰ πάθη ἐξάπτονται. Ἐὰν δέ τις κατὰ τοὺς μακαρίους παῖδας ἐπικαλέσεται τὸν Θεὸν διὰ τῆς ταπεινώσεως καὶ τῆς ἐκτενοῦς προσευχῆς, ἐκλύεται τῶν δεσμῶν χειρῶν καὶ ποδῶν, τουτέστιν τὴν πρακτικὴν καὶ τὴν κατὰ Θεὸν πορείαν, καὶ δροσίζεται τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος. Ὅτ᾽ ἂν δὲ ἀκουσίως πειραζόμεθα καὶ ἀνάπτει ἡμῖν ὁ νοητὸς Ναβουχοδονόσορ τὴν κάμινον διὰ τῶν ἔξωθεν ἐπιφορῶν, νοσῶν καὶ λοιπῶν ἀβουλήτων περιστάσεων, καὶ οὕτως δυνάμεθα διὰ τῆς ὑπομονῆς καὶ εὐχαριστίας δροσίζεσθαι τῇ ἐλπίδι τῶν ἀποκειμένων ἀγαθῶν.

ΕΡΩΤΗΣΙΣ 164

Τίνος χάριν καταγελωμένου Ἐλισσαίου τοῦ προφήτου ἐκ τῶν παίδων ηὔξατο καὶ ἐξῆλθον ἄρκοι καὶ ἀνέρρηξαν μβ' (42) παῖδας;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες μὴ εἶναι Ἰσραηλίτας τοὺς παῖδας ἀλλ᾽ ἐκ τῶν ἀλλοφύλων, καὶ οὐχὶ παῖδας τῇ ἡλικίᾳ ἀλλὰ τῇ φρονήσει. Ἐπεὶ οὖν ἤκουον τὸν προφήτην πολλὰ σημεῖα ποιοῦντα καὶ οὐκ ἐπίστευον

ἀλλὰ κατεγέλων αὐτῷ, παρῆσαν δέ τινες μὴ κοινωνοῦντες τῆς ματαίας αὐτῶν γνώμης, ἵνα μὴ οὖν οὗτοι βλάπτωνται (≡14A_232≡> καὶ τὸ βλάσφημον εἰς Θεὸν ἀνατρέχῃ, ἐπεξῆλθεν αὐτοῖς ὁ Θεός. Κατὰ δὲ τὴν θεωρίαν πᾶς νοῦς κατὰ τὸν Ἐλισσαῖον φαλακρός, τουτέστιν καθαρὸς ὑλικῶν νοημάτων, ἐν τῇ ἀναβάσει τῆς γνώσεως πολλὰ ὑπὸ τῶν λογισμῶν τῶν περὶ τὰ αἰσθητὰ καὶ τὴν ὕλην καὶ τὸ εἶδος καταγελᾶται, τοῦ τεσσαράκοντα δηλοῦντος τὰ αἰσθητά· ὕλη δὲ καὶ τὸ εἶδος προστιθέμενα ἀποτελεῖ τὸν τεσσαρακονταδύο ἀριθμόν. Σκώπτεται οὖν ἐκ τῶν τοιούτων λογισμῶν ὁ νοῦς πρὸς τὸ εἰς ὄκνον αὐτὸν ἐμβληθῆναι πρὸς τὴν ἀρετήν. Τούτους οὖν δι᾽ εὐχῆς ἀναιρεῖ διὰ τῶν δύο ἄρκων, τουτέστιν διὰ ἡδονῆς καὶ ἐπιθυμίας· κατ᾽ ἀντιστροφὴν γὰρ ἐπὶ τὸ κρεῖττον μεταχειριζόμενα τὰ τοιαῦτα πάθη, ἀποκτενοῦσιν τοὺς λογισμοὺς τοὺς ἐμπαίκτας.

ΕΡΩΤΗΣΙΣ 165

Τί σημαίνει ἡ τοῦ Εὐαγγελίου παραβολὴ ἡ περιέχουσα τὴν συμβολὴν τῶν βασιλέων τῶν κ' (20) καὶ τῶν δέκα χιλιάδων;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μετὰ τῶν δέκα χιλιάδων παρατασσόμενος βασιλεὺς σημαίνει τὸν ἐν ἡμῖν βασιλέα νοῦν μετὰ τῶν δέκα ἐντολῶν πολεμοῦντα τῷ ἑτέρῳ βασιλεῖ τῷ ἔχοντι τὰς εἴκοσι χιλιάδας, τουτέστιν τῷ κοσμοκράτορι τῷ μετὰ τῶν αἰσθητῶν καὶ τῶν αἰσθήσεων ἀντιπαρατασσομένῳ· αἱ γὰρ πέντε αἰσθήσεις προσκλινόμεναι τοῖς αἰσθητοῖς ἐκ τεσσάρων οὖσιν στοιχείοις, ποιοῦσιν τὸν εἴκοσι· διὰ τούτων γὰρ ἡμῖν ὁ ἐχθρὸς παρατάσσεται. Τὸ δὲ καθίσαι καὶ βουλεύσασθαι σημαίνει, εἰ δυνατόν ἐστιν πᾶσαν κακοπάθειαν καὶ πόνον ὑπὲρ ἀρετῆς ἀναδέξασθαι· εἰ δὲ μή γε, τὰ πρὸς εἰρήνην πρεσβεῦσαί φησιν, τουτέστιν τοῖς ἐπιταχθεῖσιν ἡμῖν μετὰ τὴν παράβασιν φυσικοῖς ὑποτασσομένους, τὴν κατὰ τὸ Εὐαγγέλιον ἀδυνάτως ἔχοντας μετελθεῖν πολιτείαν.

(≡14A_234≡> **ΕΡΩΤΗΣΙΣ 166**

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ κωφὸς δαίμων;

ΑΠΟΚΡΙΣΙΣ

Ψυχὴ ἀνήκοος ταῖς ἐντολαῖς τοῦ Κυρίου ὀχλεῖται ὑπὸ τοῦ κωφοῦ δαίμονος· ὅτ᾽ ἂν δὲ ὁ Λόγος τοῦ Θεοῦ γένηται ἐν αὐτῇ διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, τότε οὐ μόνον ἀκούει, ἀλλὰ καὶ λαλεῖ διὰ τῆς γνώσεως τοῦ Θεοῦ.

ΕΡΩΤΗΣΙΣ 167

Τί σημαίνει ὁ ἐν τῷ Εὐαγγελίῳ κατὰ τὴν παραβολὴν τοῦ Κυρίου πύργος ὃν ὁ μὴ δυνηθεὶς ἀπαρτίσαι ἐμπαίζεται ὑπὸ τῶν παραπορευομένων;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πύργος σημαίνει τὴν τῶν ἀρετῶν τελείωσιν μετὰ γνώσεως οἰκοδομηθεῖσαν. Ὅστις οὖν μετὰ τὴν κατὰ πρᾶξιν ἀπάθειαν ἔχει ἐπιτηδειότητα πρὸς ἐπίκτησιν φυσικῶν καὶ θεωρητικῶν καὶ θεολογικῶν λόγων, δι᾽ ὧν ἀπαρτίζεται ἡ τελεία γνῶσις, οὗτος ἀπαρτίζει τὴν οἰκοδομὴν τοῦ πύργου· ὁ δὲ ἕν τι τούτων ἐλλείπων, ὡς μὴ δυνηθεὶς εἰς πέρας ἀγαγεῖν τὴν οἰκοδομήν, ἐμπαίζεται παρὰ τῶν παραπορευομένων

ΕΡΩΤΗΣΙΣ 168

*** εὐαγγελιστῶν δειχθήσεται

ΑΠΟΚΡΙΣΙΣ

Τὰ καθόλου φασὶ σημαντικὰ εἶναι τῶν ἐπὶ μέρους καὶ τὰ ἐπὶ μέρους τῶν καθόλου· ὁ οὖν εἰπὼν "ἦλθον τὸ ἀπολωλὸς ζητῆσαι", τὴν καθόλου φύσιν ἐσήμανεν Ἰσραὴλ οὖσαν κατὰ τὸν τῆς Γενέσεως λόγον καὶ ‘τὸν Θεὸν’ ἀεὶ ‘ὁρῶσαν·’ ὁ δὲ εἰπὼν (≡14A_236≡> εἰς τὰ πρόβατα οἴκου Ἰσραὴλ καὶ μόνον ἀπεστάλθαι, καὶ αὐτὸς διὰ τοῦ ἐπὶ μέρους τὸ καθόλου ἐσήμανεν. Ἐπειδὴ γὰρ ἐν τῷ Ἀβραὰμ τὸ διαρρυὲν ἐν τῷ προπάτορι διὰ τῆς παρακοῆς τῆς φύσεως ἀγαθὸν δι᾽ ἐπιγνώσεως ἀνεσώθη, ἐπαγγελίαν ὁ Θεὸς αὐτῷ δίδωσιν πατέρα αὐτὸν ἔσεσθαι πολλῶν ἐθνῶν, τῶν δι᾽ ἐπιγνώσεως εἰς τὴν ὁμοίαν αὐτοῦ πίστιν καταντώντων καὶ υἱοθετουμένων αὐτῷ· δῆλον γὰρ ὅτι εἴπερ υἱοθετοῦνται, καὶ τοῦ οἴκου Ἰσραήλ εἰσιν καὶ συγκληρονόμοι καὶ σύσσωμοι.

Ἡ δὲ αἴτησις τῶν ψιχίων τῆς Χαναναίας τὴν ἁρμόδιον τῶν εἰσαγομένων εἰς τὸν κατ᾽ ἀρετὴν βίον ἐξ ἀπιστίας δηλοῖ διδασκαλίαν· ὁ γὰρ ἁπλοῦς καὶ τελειότατος τῆς γνώσεως λόγος εἰς πολλὰ μερίζεται κατὰ τὴν τῶν ὑποδεχομένων ἕξιν· ἄρα οὖν τοῖς εἰσαγομένοις ἁρμόδιός ἐστιν ἡ κατήχησις, ἥτις ψιχίων παρεικάζεται. Ὁ δὲ κύων, ἐπειδὴ ζῷόν ἐστιν ὑλακτικόν, ἐκδιώκων μὲν τοὺς ἀλλοτρίους, προσσαίνων δὲ τοῖς οἰκείοις, λαμβάνεται ἐπὶ τῆς πρακτικῆς ἕξεως, ἥτις ἐκδιώκει μὲν τὰς παρὰ φύσιν κακίας, προσσαίνει δὲ ταῖς φυσικαῖς ἀρεταῖς, τονωτικῶς ταύτας φυλάττουσα.

ΕΡΩΤΗΣΙΣ 169

Τί σημαίνει ἡ κατὰ τὸν Ἰωὰβ ἱστορία ἡνίκα τὸν Σάβεε τὸν υἱὸν τοῦ Βοχορὶ ἐπεδίωκεν «ἐπαίροντα χεῖρα αὐτοῦ ἐπὶ Δαβὶδ» καὶ τίς ἡ γυνὴ ἡ ῥίψασα ἀπὸ τοῦ τείχους τὴν κεφαλὴν αὐτοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Ἰωὰβ δασυνόμενος ἑρμηνεύεται ‘ἔξωθεν ἢ ἐπιδιώκων,’ ψιλούμενος δὲ ‘διδοὺς ἢ πάροχος·’ ἐνταῦθα δὲ ἐπὶ τῆς ἀνδρείας τὸν Ἰωὰβ ἐκληπτέον, τὸν δὲ Σάβεε ἐπὶ τῆς ὑπερηφανίας ἥτις ὡς κεφαλὴ οἰκίσκων τρόπον καὶ τὰ λοιπὰ πάθη ἐμπεριέχει. (≡14A_238≡> Ὅτ᾽ ἂν οὖν αἴσθηται ὁ ἐνάρετος νοῦς τῆς ἐπαναστάσεως τῆς ὑπερηφανίας, ἀποστέλλει τὸν Ἰωάβ, τουτέστιν τὴν ἀνδρείαν, ἐκδιώκουσαν καὶ παροτρύνουσαν τὰς τῆς ψυχῆς δυνάμεις πρὸς ἀναίρεσιν αὐτῆς. Φεύγουσα οὖν αὐτὴ ἐγκρύπτεται ὡς εἴς τινα πόλιν, μιᾷ τῶν ἀρετῶν· ἐκπορθεῖ ταύτην ἡ ἀνδρεία, ζητοῦσα τὴν τῆς ὑπερηφανίας ἀναίρεσιν ποιήσασθαι· ἡ δὲ σοφὴ γυνή, ἥτις ἐστὶν ἡ σοφία, τῇ ἐφευρέσει τῶν συστατικῶν τῆς ἀρετῆς αἰτιῶν ἀναίρεσιν ποιεῖται τῶν ποιητικῶν τῶν παθῶν αἰτιῶν, δι᾽ ὧν πᾶσα σύστασις γίνεται ἐν τῇ ψυχῇ κακίας.

ΕΡΩΤΗΣΙΣ 170

Τί σημαίνει ἡ κατὰ τὸν Ἀμεσσαεὶ ἱστορία ἡνίκα ὁ Ἰωὰβ ἀπέκτεινεν αὐτόν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Ἀμεσσαεὶ ‘ἠλειμμένος ἢ ἀλείφων’ ἑρμηνεύεται· λαμβάνεται οὖν ἐπὶ τῆς ἀπαθείας, ὡς πᾶσαν λαβὴν τῶν ἐναντίων διαφεύγων εὐχερῶς διὰ τὴν τελειότητα, ὁ δὲ Ἰωὰβ ἐπὶ τῆς ἀνδρείας. Ὅτ᾽ ἂν

οὖν ἡ ψυχὴ διὰ τῆς ἀνδρείας μετὰ τὴν ἐν ἕξει τελείαν ἀπάθειαν καταλείψασα τὴν εὐχήν, πάθει τινὶ μάτην προσασχολεῖται, ἀποκτέννει, τουτέστιν ἄπρακτον ποιεῖ τὸν τελεώτερον τῆς θεωρίας τρόπον, τοῖς ἡττημένοις ἐχθροῖς προσασχολουμένη.

ΕΡΩΤΗΣΙΣ 171

Τί σημαίνει ἡ κατὰ τὸν αὐτὸν Ἰωὰβ ἱστορία ὅτε ἀπέκτεινεν τὸν Ἀβεννὴρ καὶ τίς ἡ ἐπενεχθεῖσα αὐτῷ κατάρα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐνταῦθα ὁ Ἰωὰβ ἐπὶ τοῦ μνησικάκου λαμβάνεται λογισμοῦ, καθ᾽ οὗ καὶ τὴν κατάραν δέχεται, τὸ ἐπὶ σκυτάλης ἐπερείδεσθαι (≡14A_240≡> καὶ ἐν ῥομφαίᾳ πίπτειν, δηλοῦντος, οἶμαι, τοῦ λόγου διὰ μὲν τῆς σκυτάλης τὴν περὶ τὰ αἰσθητὰ τοῦ μνησικάκου ἐλπίδα—πᾶς γὰρ μνησίκακος λογισμός, ἀεὶ ἐν τοῖς ὑλικοῖς εἰλούμενος, ἐν αὐτοῖς καὶ τὴν ἐπερείδησιν ἔχει—διὰ δὲ τοῦ «πίπτειν ἐν ῥομφαίᾳ» τὴν διὰ τοῦ τομωτάτου λόγου τῆς τοιαύτης σχέσεως ἀναίρεσιν.

ΕΡΩΤΗΣΙΣ 172

Τίνος ἐπέχει πρόσωπον ὁ Χοῦσι ἡνίκα ἔπεμψεν αὐτὸν ὁ Δαβὶδ «διασκεδάσαι τὴν βουλὴν τοῦ Ἀχιτόφελ»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ Χοῦσι υἱὸς ἦν τοῦ Ἰεμινί, ὡς μὲν εἰς τὸ ἴδιον πρόσωπον ἑρμηνεύεται ‘νήθων,’ ὡς δὲ πρὸς τὴν τοῦ πατρὸς σχέσιν λέγεται ‘υἱὸς δεξιός·’ λαμβάνεται δὲ ἐπὶ τῆς διακρίσεως· αὐτὴ γὰρ τῇ διαγνωστικῇ δυνάμει λεπτύνει καὶ διασκεδάζει τῶν ἀντικειμένων τὰς βουλάς.

ΕΡΩΤΗΣΙΣ 173

Τί σημαίνει τὸ εἰρημένον τῷ Ἀποστόλῳ "τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου";

ΑΠΟΚΡΙΣΙΣ

Ὁ Θεὸς κατὰ μὲν τὴν οὐσίαν ἀποφατικῶς πάντων ὑφεξῄρηται τῶν ὄντων· οὔτε γὰρ λέγεται, οὔτε νοεῖται, οὐδὲ μετέχεται οὐδαμῶς ἀπό τινος· κατὰ δὲ τὴν προνοητικὴν πρόοδον ὑπὸ πολλῶν μετεχόμενος, ὑπ᾽ αὐτῶν καὶ πληροῦται. Ἕκαστον γὰρ τῶν γεγονότων κατὰ τὸν ἑαυτοῦ λόγον, τὸν ἐν τῷ Θεῷ ὄντα, μέλος Θεοῦ λέγεται εἶναι καὶ τόπον ἐν τῷ Θεῷ ἔχειν· ἀμέλει τοι καὶ εἰ κατ᾽ αὐτὸν κινηθείη σοφῶς τε καὶ λελογισμένως, ἐν τῷ Θεῷ γενήσεται, τὸν ἑαυτοῦ τόπον πληρῶν καὶ τὴν εὐπρέπειαν ἐν τῷ σώματι τοῦ Χριστοῦ ὡς μέλος εὔχρηστον ἐργαζόμενος. (≡14A_242≡> Ὅστις δὲ ἀφεὶς τὸν ἴδιον λόγον παραλόγως πρὸς τὰ ἀνύπαρκτα φέρεται, δίκην δικαίως αἰωνίαν ὑφέξει τῆς γενομένης ὅσον ἐπ᾽ αὐτῷ μομφῆς ἐν τῷ σώματι τοῦ Χριστοῦ.

ΕΡΩΤΗΣΙΣ 174

Τί σημαίνει ὁ Ἀδωνιβέζεκ ὑπὸ τοῦ Ναυὴ Ἰησοῦ «κρεμνώμενος ἐπὶ διδύμου ξύλου»;

ΑΠΟΚΡΙΣΙΣ

Τὸ δίδυμον ξύλον τύπον φέρει τῆς κατὰ ψυχὴν καὶ σῶμα πρὸς τὰ αἰσθητὰ ἐνεργείας καὶ σχέσεως. Ὅστις οὖν κατὰ τὸν Ἰησοῦν διὰ τῶν ἐντολῶν τέμνων τὴν ὁδὸν τῆς ἀρετῆς, ἀνενέργητον τὴν κακίαν ἐπί τε ψυχῆς καὶ σώματος πρός τε τὴν αἴσθησιν καὶ

πρὸς τὰ παρὰ φύσιν ποιήσει, οὗτος τὸν ἄρχοντα τοῦ κόσμου τούτου ἐπὶ διδύμου ξύλου ἐκρέμασεν.

ΕΡΩΤΗΣΙΣ 175

Τί σημαίνει ἡ κατὰ τὸν Ἀχαὰβ ἱστορία ἡνίκα ὁ προφήτης εἶδεν τὰς ἀγγελικὰς δυνάμεις ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ προφήτης ἐνταῦθα τὸν καθόλου τῆς προνοίας ὑφαίνει λόγον, εἰδὼς πᾶσιν ἐμμεμίχθαι τὸν ἀρχικὸν λόγον· καὶ διὰ μὲν τῶν δεξιῶν τοὺς ὑποθετικοὺς τῶν καθηκόντων πράξεων εἰσηγεῖται λόγους, διὰ δὲ τῶν ἀριστερῶν τοὺς τῆς κρίσεως ἤτοι τῶν οὐκ ἐφ᾽ ἡμῖν. Ὅστις δὲ μήτε τῇ διδασκαλίᾳ τοῦ θείου νόμου, μήτε τῇ ἐπιφορᾷ τῶν συμβαινόντων θλίψεων πρὸς τὸ εὐθὲς ἄγεται, οὗτος παραδίδοται, καταλιμπανόμενος τῇ φιλαυτίᾳ ἤτοι τῇ ἐν αὐτῷ ἁμαρτίᾳ, ἥτις εἰς πλεῖονα κακῶν ὠθοῦσα βάθος οὐχ ἵσταται ἕως οὗ ἀποκτείνασα ἀμετανόητον τῷ ἐκεῖσε παραπέμψῃ δικαστηρίῳ.

(≡14Α_244≡> **ΕΡΩΤΗΣΙΣ 176**

Τί σημαίνει ἡ ἐν τῷ Εὐαγγελίῳ συγκύπτουσα γυνὴ ἐπὶ ἔτη ιη' (18);

ΑΠΟΚΡΙΣΙΣ

Ψυχὴ τοῖς αἰσθητοῖς ἐνησχημένη διὰ τῶν ταύτης τριῶν δυνάμεων σημαίνεται διὰ τῆς συγκυπτούσης γυναικός. Ὁ γὰρ ἓξ ἀριθμός, ἐν ᾧ ὁ αἰσθητὸς εἰς γένεσιν παρήχθη κόσμος, τρισσούμενος ἀποτελεῖ τὸν ὀκτωκαιδέκατον. Ἐὰν οὖν διὰ τῆς μετανοίας προσέλθῃ τῷ Λόγῳ καὶ Θεῷ, ὑγιὴς γίνεται, μηκέτι εἰς τὰ γήϊνα κατακύπτουσα ἀλλὰ τὰ οὐράνια περιαθροῦσα κάλλη.

ΕΡΩΤΗΣΙΣ 177

Τί σημαίνει ἡ ᾠδὴ Ἀμβακοὺμ λέγουσα "ἐξέλειπον ἀπὸ βρώσεως πρόβατα καὶ οὐχ ὑπάρχουσιν βόες ἐπὶ φάτνης";

ΑΠΟΚΡΙΣΙΣ

Πρόβατά εἰσιν τὰ τοῦ νοῦ νοήματα καὶ κινήματα, βόες δὲ ἡ πνευματικὴ διδασκαλία, φάτνη ἡ κατὰ πρᾶξιν ἀπάθεια, ἧς μὴ ὑπαρχούσης ἐκλιμπάνει ἡ πνευματικὴ διδασκαλία· ταύτης δὲ ἐκλειπούσης συνεκλείπειν αὐτῇ πέφυκεν καὶ τὰ δι᾽ αὐτῆς ἐν τῷ νοῖ ἡμῶν συνιστάμενα νοήματά τε καὶ κινήματα, τῆς ψυχῆς πρὸς τὰ τοῦ βίου πράγματα διὰ τὸν τοῦ λόγου λιμὸν κατερχομένης.

Ἢ καὶ ἄλλως· ἐξέλιπον τὰ λογικὰ πρόβατα ἐκ τοῦ μὴ σιτεῖσθαι τὴν πνευματικὴν τῆς διδασκαλίας βρῶσιν, διὰ τὸ μὴ ὑπάρχειν ἐπὶ τῆς φάτνης τῆς Ἐκκλησίας τοὺς πνευματικοὺς βόας, τοὺς διδασκάλους.

ΕΡΩΤΗΣΙΣ 178

Τί σημαίνει κατ᾽ ἀναγωγὴν τὸ τοῦ Κυρίου παράγγελμα (≡14Α_246≡> "ἐάν τις ἀγγαρεύσῃ σε μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο";

ΑΠΟΚΡΙΣΙΣ

Ὁ ἀγγαρεύων ἡμᾶς ἐστιν ὁ Κύριος διὰ τῆς αὐτοῦ διδασκαλίας τὸ ἓν τῆς ἐντολῆς αὐτοῦ μίλιον. Καλὸν οὖν ἡμᾶς ἀκούειν αὐτοῦ κελεύοντος καὶ ὑπάγειν δύο μίλια, τουτέστιν ὑπακούειν τῆς ἐντολῆς καὶ προστίθειν διὰ τῶν ἔργων τὸ ἄλλο ἓν μίλιον.

Ἢ καὶ ἄλλως· ἀγγαρευόμεθα τὸ τῆς πίστεως μίλιον, ἀπαιτούμεθα δὲ καὶ τὰ ἔργα τῆς πίστεως.

ΕΡΩΤΗΣΙΣ 179

Τί ἐστιν τὸ «ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐάν σε, φησίν, οἱ δαίμονες διὰ τῶν λογισμῶν ῥαπίσωσιν εἰς τὴν δεξιὰν σιαγόνα, ἐπαίροντες διὰ τῶν δεξιῶν ἔργων, στρέψον τὴν ἄλλην, τουτέστιν τὰ τῆς ἀριστερᾶς πράξεως ἔργα ὅσα ἡμῖν πέπρακται, ὑπ᾽ ὄψιν ἄγων.

ΕΡΩΤΗΣΙΣ 180

Τί σημαίνει τὸ εἰρημένον ἀπὸ τοῦ Κυρίου πρὸς τοὺς μαθητάς, ὅτι "οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου ἕως ἂν αὐτὸ πίω καινὸν μεθ᾽ ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου";

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ βρῶσις καὶ πόσις ἐστὶν τοῦ Θεοῦ ἡ ἡμετέρα σωτηρία κατὰ τὸ γεγραμμένον, ταύτην δὲ διὰ τῆς κατὰ σάρκα οἰκονομίας ἐκπληρώσας ὁ Κύριος καὶ τὸν περὶ ἡμᾶς αὐτοὺς (≡14A_248≡> σωτήριον σκοπὸν εἰς πέρας ἀγαγὼν διὰ τῆς αὐτοῦ διδασκαλίας καὶ πολιτείας, τοὺς αὐτοῦ μαθητὰς ὑπὲρ τὴν αἴσθησιν ποιήσας γενέσθαι, οὐκέτι, φησίν, πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου, τουτέστιν τῆς οἰκονομηθείσης διὰ τῆς αὐτοῦ ἐνδημίας τοῖς ἀνθρώποις σωτηρίας. Ἀλλ᾽ ἐν τῷ μέλλοντι αἰῶνι πίνει τοῦτο καινόν, τουτέστιν ἀνανεούμενον διὰ τοῦ ἁγίου Πνεύματος καὶ θεοὺς χάριτι τοὺς ἀξίους ἀπεργαζόμενος διὰ τῆς ἐκστατικῆς καὶ μεμεθυσμένης τῶν ἀγαθῶν μετουσίας.

ΕΡΩΤΗΣΙΣ 181

Τί ἐστιν τὸ «οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας· ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι ἔτη»;

ΑΠΟΚΡΙΣΙΣ

Κηδόμενος ὁ Θεὸς τῆς τῶν ἀνθρώπων τότε σωτηρίας προεῖπεν ἔσεσθαι τὴν αὐτῶν ζωὴν ἑκατὸν εἴκοσι ἔτη· ἕως οὗ γὰρ ἐχρηματίσθη ὁ Νῶε κατασκευάσαι τὴν κιβωτὸν ἐγένοντο εἴκοσι ἔτη· ἐν ἑκατὸν δὲ ἔτεσιν ἔμεινεν τεκταίνων τὴν κιβωτόν, ὥστε διὰ τῆς παραστάσεως ἐλθεῖν αὐτοὺς εἰς διόρθωσιν· μετὰ ταῦτα δὲ ἐπήγαγεν τὸν κατακλυσμὸν καὶ ἦρεν ἅπαντας. Καὶ ἀληθεύει ἡ Γραφὴ ἑκατὸν εἴκοσι ἔτη ἔσεσθαι τῇ γενεᾷ ἐκείνῃ ἐξότε ἠπείλησεν αὐτοῖς.

ΕΡΩΤΗΣΙΣ 182

Τί δηλοῖ ἐν ταῖς Πράξεσιν ὁ Εὔτυχος πεσὼν «ἀπὸ τοῦ τριστέγου, διαλεγομένου τοῦ Παύλου»;

ΑΠΟΚΡΙΣΙΣ

Πᾶς νοῦς τὴν πρακτικὴν καθάπερ πρώτην στέγην ἀναβὰς (≡14A_250≡> καὶ τῇ φυσικῇ θεωρίᾳ ὡς δευτέρᾳ στέγῃ ἐπιστήσας ἑαυτὸν καὶ διὰ τῆς ἀνενδυάστου πίστεως τῷ τῆς θεολογίας ὕψει ὥσπερ τρίτῃ στέγῃ ἑαυτὸν ἐπιβιβάσας, εἶτα τοῦ θείου λόγου καταμελήσας καὶ νυστάξας, πίπτει ἀπὸ τοῦ εἰρημένου τριστέγου· εἰ δὲ ἐπιπίπτων αὐτῷ ὁ λόγος τῆς διδασκαλίας εὕρῃ ἐν αὐτῷ ζωτικόν τι καὶ μὴ

πάντη διὰ τῆς ἀπογνώσεως ἐνεκρώθη, διὰ τῆς μετανοίας πάλιν ζωοποιεῖται.

ΕΡΩΤΗΣΙΣ 183

Πῶς τῆς προθέσεως οὐ ταὐτῆς οὔσης ἓν τὸ δηνάριον λέγεται ἐν τῷ Εὐαγγελίῳ δίδοσθαι παρὰ τοῦ οἰκοδεσπότου τοῖς ἐν τῷ ἀμπελῶνι καμοῦσιν, καὶ ὅτι αἱ κλήσεις διάφοροι;

ΑΠΟΚΡΙΣΙΣ

Φασί τινες τῶν ἁγίων πατέρων τὰς διαφόρους κλήσεις τὰς διαφόρους ἡλικίας σημαίνειν, ἕτεροι δὲ τὰς διαφόρους προθέσεις. Τὸ δὲ δηνάριον ὑπόθου εἶναι τὴν σωφροσύνην, ἀλλὰ πολλαὶ ταύτης αἱ διαφοραί· ὁ μὲν γὰρ ἔχων τὴν ἑαυτοῦ γυναῖκα, ταύτης τυχὼν φυλάττει κατὰ τοῦτο τὴν σωφροσύνην· ἔστιν δὲ ἄλλος ὑψηλότερος τούτου, ὅτι οὐ συνεχῶς κέχρηται τῇ ἀδείᾳ τοῦ νόμου· ἄλλος δὲ διὰ μόνην τὴν ἐκ διαδοχῆς παιδοποιΐαν τοῦ γένους ταύτῃ κέχρηται· ἕτερος δὲ μετὰ τὸ τυχεῖν ἑνὸς ἢ δευτέρου παιδὸς τέλεον ἀφίσταται τῆς γαμικῆς ὁμιλίας· ἔστιν δὲ ὁ πάντων τούτων ὑψηλότερος ὁ μηδόλως ἑαυτὸν ἐπιδώσας τῷ γάμῳ ἀλλὰ διὰ τὴν εἰς τὸν Κύριον ἀγάπην τὴν παρθενίαν ἀσκῶν. Ἔδειξεν οὖν ὁ λόγος πέντε προθέσεις, μίαν τῆς μιᾶς ὑψηλοτέραν, ἐν αἷς δηλοῦνται αἱ πέντε κλήσεις καὶ τὸ ἓν τῆς σωφροσύνης δηνάριον· τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν ἔκλαβε.

(≡14A_252≡> **ΕΡΩΤΗΣΙΣ 184**

Τί δηλοῖ τὰ κατὰ τὸν προφήτην Ἰωνᾶν καὶ τίς ἡ Ἰόππη ἐξ ἧς φεύγει;

ΑΠΟΚΡΙΣΙΣ

Λαμβάνεται ὁ Ἰωνᾶς φεύγων ἀπὸ προσώπου Κυρίου εἰς τὴν ἡμετέραν φύσιν· αὕτη γὰρ οὖσα εἰς Ἰόππην—ἑρμηνεύεται δὲ ‘κατασκοπὴ χαρᾶς,’ δηλοῦται δὲ ὁ παράδεισος —ἔφυγεν διὰ τῆς παρακοῆς καὶ δίδωσιν ἑαυτὴν ἐν τῇ θαλάσσῃ τοῦ βίου καὶ χειμάζεται καὶ καταπίνεται ὑπὸ τοῦ νοητοῦ κήτους καὶ ἐμεῖται διὰ τῆς τοῦ Κυρίου ἐν τῷ ᾅδῃ τριημέρου ταφῆς. Λαμβάνεται δὲ πάλιν καὶ εἰς τὸ προφητικὸν χάρισμα καὶ κηρύσσει ἐν τῇ Νινευή, τουτέστιν εἰς τὰ ἔθνη, καὶ ἀδημονεῖ ἐπὶ τῇ κολοκύνθῃ· ἔστιν δὲ ἡ κολόκυνθα ἡ σωματικὴ τοῦ νόμου λατρεία, ἣν ὁ σκώληξ ἐξήρανεν, ὁ Κύριος Ἰησοῦς ὁ Χριστός, ὁ εἰπὼν "ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος"· κατήργησεν γὰρ διὰ τῆς αὐτοῦ παρουσίας τὴν πρόσκαιρον τοῦ νόμου λατρείαν. Τὸ δὲ εἶναι ἐν τῇ πόλει δώδεκα χιλιάδας οἵτινες οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν, σημαίνει τοὺς μήτε ὑπερβολῇ μήτε ἐλλείψει ἀλλὰ μεσότητι καὶ ὁδῷ βασιλικῇ τὴν ἀρετὴν μετιόντας.

ΕΡΩΤΗΣΙΣ 185

Τί δήποτε κόραξ διατρέφει τὸν Ἠλίαν πρωὶ μὲν ἄρτον, δείλης δὲ κρέα;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ κόραξ λαμβάνεται ἐπὶ τῆς φύσεως τῆς διὰ τῆς παρακοῆς μελανθείσης, Ἠλίας δὲ καθήμενος ἐν τῷ χειμάρρῳ λαμβάνεται ἐπὶ τοῦ νοὸς τοῦ γνωστικοῦ ἐν τῷ χειμάρρῳ τῶν πειρασμῶν καὶ τῶν πόνων τῆς ἀσκήσεως ἱδρυμένου. Οὗτος τρέφεται ἐκ τῆς μελανθείσης φύσεως πρωὶ μὲν ἄρτον, τουτέστιν (≡14A_254≡> γνῶσιν

ἐκ τῆς τῶν ὄντων φυσικῆς θεωρίας συλλέγων, δείλης δὲ κρέα· μυεῖται γὰρ τὸ ἐπ᾽ ἐσχάτων τοῦ Κυρίου γενησόμενον τῆς ἐνανθρωπήσεως μυστήριον, ὅτι πάντως ἐκ τοῦ μὴ ὄντος ὑποστήσας τὴν φύσιν, καὶ διαφθαρεῖσαν ἐπανορθώσηται.

Ἢ καὶ ἄλλως· Ἠλίας εἰς τύπον τοῦ Κυρίου λαμβάνεται· αὐτὸς γὰρ λιμοῦ νοητοῦ πάσας τὰς καρδίας κατέχοντος, ἦλθεν ἐν τῷ χειμάρρῳ, τουτέστιν ἐν τῷ βίῳ, τῶν πειρασμῶν καὶ τῶν παθῶν ἑκὼν ἀνασχόμενος, καὶ οἱ ἴδιοι εἰς τὰ ἴδια ἐλθόντα οὐ παρέλαβον οὐδὲ ἔθρεψαν, τὰ δὲ ἔθνη τὰ τῇ εἰδωλολατρείᾳ μεμελανωμένα ὑπεδέξαντο καὶ ἔθρεψαν διὰ γνώσεως καὶ πράξεως, διὰ τοῦ ἄρτου τῆς γνώσεως δηλουμένης, διὰ δὲ τοῦ κρέατος τῆς πράξεως.

ΕΡΩΤΗΣΙΣ 186

Τί ἐστιν τὸ ἐν τῷ ψαλμῷ "ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν";

ΑΠΟΚΡΙΣΙΣ

«Γίγας» ἑρμηνεύεται ‘ἐπιπίπτων,’ λαμβάνεται δὲ εἰς τὸν Κύριον· αὐτὸς γὰρ ἠγαλλιάσατο κατὰ τὴν ὁδὸν τῆς οἰκονομίας τὴν ἡμετέραν σωτηρίαν πραγματευσάμενος, καὶ ἐπέπεσεν ταῖς δαιμονικαῖς φάλαγξιν, καταργήσας αὐτῶν τὴν καθ᾽ ἡμῶν δυναστείαν.

ΕΡΩΤΗΣΙΣ 187

Ἐκ τοῦ οα' (71) ψαλμοῦ· «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη».

ΑΠΟΚΡΙΣΙΣ

Δῆλον πᾶσίν ἐστιν ὡς περὶ τῆς ἐνσάρκου πολιτείας τοῦ (≡14A_256≡> Κυρίου ὁ προφήτης τῷ Πνεύματι ταῦτα προεῖπεν. Ἡμέραι δὲ τοῦ Κυρίου εἰσὶν οὐχ ἃς ἐπὶ γῆς σωματικῶς διέτριψεν ἀλλ᾽ αἱ ἀρεταί, αἵτινες ἡμέρας δίκην φωτίζουσαι ἀνατέλλειν ἐν ἡμῖν τὴν δικαιοσύνην ποιοῦσιν. Ποίαν δικαιοσύνην ἢ τὴν ἀπονεμητικὴν ἕξιν τὴν μὴ ἐῶσαν ἐπανίστασθαι τὸ ἧττον τῷ κρείττονι, τουτέστιν «τὸ φρόνημα τῆς σαρκὸς τῷ νόμῳ τοῦ πνεύματος»; «Πλῆθος δὲ εἰρήνης» ἐν ἡμῖν γίνεται ὅτ᾽ ἂν κατευνασθέντα τὰ πάθη ἀστασίαστα πρὸς τὴν ψυχὴν διαμένουσιν· τὸ δὲ «ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη» τοῦτο δηλοῖ, ὅτι τοσαύτη γίνεται τῇ ψυχῇ ἐκ τῆς τοῦ Θεοῦ γνώσεως τῆς ἀνατελλούσης ἡμῖν τὴν δικαιοσύνην ὥστε καὶ αὐτὰς ψιλὰς τὰς φαντασίας τῆς ἀλλοιωτῆς ἡμῶν φύσεως —αὕτη γὰρ ἡ σελήνη—τέλεον ἀνταναιρεθῆναι.

«Καὶ κατακυριεύσῃ», φησίν, «ἀπὸ θαλάσσης ἕως θαλάσσης»· θάλασσαν ἐνταῦθα τὴν πρᾶξιν δηλοῖ, ἐξ ἧς ἀρχόμενος κυριεύει τῶν ὑποτασσομένων τῷ αὐτοῦ νόμῳ «ἕως θαλάσσης», τῆς ἁπλέτου δηλονότι γνώσεως, ἐν ᾗ ἐννήχονται διὰ τῆς τῶν ὄντων θεωρίας οἱ ταύτης μέτοχοι. Ἢ καὶ θάλασσαν τὸ βάπτισμα νόησον, ἐν ᾧ κατὰ τὸν προφήτην ἀφανίζεται τὸ πρόσωπον τοῦ ἀντικειμένου εἰς τὴν θάλασσαν τὴν πρώτην καὶ τὰ ὄπισθεν αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, πρώτην θάλασσαν, ὡς εἴρηται, λέγων τὸ βάπτισμα, ἐσχάτην δὲ τὴν ἀνάστασιν, ἐν ᾗ τὰ ὀπίσθια τοῦ ἐχθροῦ καταργοῦνται· τότε γὰρ ἡ φύσις ἡμῶν ἀποτίθεται τελείως τὸν διὰ τῆς παραβάσεως ἐντεθέντα νόμον τῆς ἁμαρτίας.

Ἢ καὶ ἄλλως· ἀφανίζεται τὸ πρόσωπον τοῦ διαβόλου, τουτέστιν αἱ πονηραὶ πράξεις, διὰ τῆς πρακτικῆς· αὐτὴ γάρ, ὡς εἴρηται, ἡ πρώτη θάλασσα· ἀφανίζεται δὲ καὶ τὰ ὀπίσθια, τουτέστιν αἱ προλήψεις τῶν κακῶν καὶ αἱ φαντασίαι, διὰ τῆς δευτέρας θαλάσσης, τουτέστιν τῆς γνώσεως.

(≡14A_258≡> ΕΡΩΤΗΣΙΣ 188

Ἡ πρὸς Νικόδημον ἀπὸ τοῦ Κυρίου γενομένη διάλεξις, ἐν ᾗ λέγει ὅτι τὸ πνεῦμα ὅπου θέλει πνεῖ καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, περὶ ποίου λέγει πνεύματος;

ΑΠΟΚΡΙΣΙΣ

Τινὲς μὲν περὶ τοῦ ἀερίου πνεύματος λέγειν τὸν Κύριον νομίζουσιν, ἐμοὶ δὲ μᾶλλον φαίνεται ὅτι περὶ τοῦ ἁγίου Πνεύματος λέγει. Τοῦτο γὰρ ἐξουσιαστικῶς ὅπου θέλει πνεῖ, θέλει δὲ ἐν τοῖς δεκτικοῖς καὶ καθαροῖς τὴν διάνοιαν· οὗτοι γὰρ ἐμπνεόμενοι τὰ θεῖα χαρίσματα, πόθεν μὲν ἐδόθη αὐτοῖς τὸ οἱονοῦν χάρισμα ἢ διὰ ποίαν αἰτίαν, οὐ γινώσκουσιν, οὐδὲ εἰς ποῖον τέλος καταντᾷ ἡ τοῦ χαρίσματος δωρεά, μόνον δὲ τὴν φωνὴν ἀκούουσιν, τουτέστιν αὐτὴν τὴν διὰ τῆς τοῦ βίου καθαρότητος τοῦ χαρίσματος ἐνέργειαν διαδεικνυμένην καὶ τρόπον τινὰ φωνὴν ἀφιεῖσαν, εἴτε διδασκαλίας ἐστὶν χάρισμα εἴτε ἰαμάτων εἴτ᾽ ἔτι *** *** ***

ΕΡΩΤΗΣΙΣ 189

Τί ἐστιν ἡ τοῦ Πνεύματος βλασφημία καὶ πῶς «πᾶν ἁμάρτημα ἀφεθήσεται τοῖς ἀνθρώποις, τοῖς δὲ εἰς αὐτὸ βλασφημοῦσιν οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ αἰῶνι τούτῳ οὔτε ἐν τῷ μέλλοντι»;

ΑΠΟΚΡΙΣΙΣ

Ἡ περὶ τῆς τοῦ Πνεύματος βλασφημίας ἀπορία αὐτόθεν ἔχει τὴν λύσιν· τοῦ γὰρ Κυρίου ἰάσεις ποιοῦντος ποικίλας, οἱ Ἰουδαῖοι τὰς τοῦ Πνεύματος ἐνεργείας τῷ ἄρχοντι τῶν δαιμονίων ταύτας ἀνετίθεσαν. Τὸ δὲ οὔτε ἐνταῦθα οὔτε ἐν τῷ μέλλοντι ἄφεσιν γίνεσθαι τοῖς βλασφημοῦσιν, ἑξῆς ζητητέον. Φασί τινες τῶν τὰ τοιαῦτα διὰ τοῦ Πνεύματος ἠκριβωκότων τέσσαρας (≡14A_260≡> εἶναι τρόπους δι᾽ ὧν συγχώρησις γίνεται ἁμαρτημάτων, δύο ἐνταῦθα καὶ δύο ἐν τῷ μέλλοντι. Ἐπειδὴ γὰρ οὐκ ἐξικνεῖται ἡ μνήμη ὅλου τοῦ χρόνου μνημονεύειν τὰ σφάλματα, ἵνα ὑπὲρ αὐτῶν ἐνταῦθα μετανοήσῃ ὁ ἄνθρωπος, ᾠκονόμησεν φιλάνθρωπος ὢν ὁ Δεσπότης τῆς φύσεως, καὶ ἡμῶν μὴ μετανοούντων, τρόπους μετανοίας· ἐν μὲν τῷ μέλλοντι, ὡς εἴρηται, δύο· ὅτ᾽ ἄν τις ἀδιαφόρως ἐνταῦθα ἁμαρτήσας καὶ πάλιν ἀδιαφόρως ἀγαθοεργήσας, εἴτε εἰς οἶκτον καὶ συμπάθειαν πρὸς τὸν πλησίον κινηθεὶς ἢ ὅσα ἄλλα φιλανθρωπίας ἐχόμενα, ταῦτα ἐν τῷ μέλλοντι αἰῶνι ἐν τῷ καιρῷ τῆς κρίσεως ζυγοστατούμενα, ἐφ᾽ ἃ τὴν ῥοπὴν ἕξει, συγχώρησις γίνεται· οὗτος μὲν ὁ εἷς τρόπος· δεύτερος δὲ οὗτος· ὅτ᾽ ἄν τις ἐν ἁμαρτίαις ἐνεχόμενος, ἀκούων δὲ τοῦ Κυρίου λέγοντος "μὴ κρίνετε ἵνα μὴ κριθῆτε", φοβούμενος οὐδένα κρίνει, ἐν τῇ ἐξετάσει τῶν βεβιωμένων ὡς φύλαξ τῆς ἐντολῆς οὐ κρίνεται· τῆς γὰρ ἑαυτοῦ ἐντολῆς οὐκ ἐπιλήσμων ὁ ἀψευδέστατος. Οἱ δὲ ἕτεροι δύο τρόποι ἐνταῦθα τὴν συγχώρησιν ἔχουσιν· ὅτ᾽ ἂν ἐν ἁμαρτίαις τις ὢν οἰκονομῆται ἐκ τῆς προνοίας ἐν συμφοραῖς, ἐν ἀνάγκαις, ἐν νόσοις —ὡς οὐκ οἶδεν γὰρ διὰ τῶν τοιούτων καθαίρει αὐτὸν ὁ Θεός—καὶ

εἰ μὲν εὐχαριστεῖ πειραζόμενος, τὸν ἐπὶ τῇ εὐχαριστίᾳ μισθὸν λαμβάνει, εἰ δὲ ἀχαριστεῖ, δι᾽ ἃς μὲν ἁμαρτίας παιδεύεται ἐκ τούτων καθαίρεται, τὴν δὲ ὑπὲρ τῆς ἀχαριστίας εἰσπράττεται ποινήν. Ἐπεὶ οὖν ἅτινα εἰς ἀνθρώπους τις ἁμαρτάνει, ὡς ἔδειξεν ὁ λόγος, πολλὰς ἔχει προφάσεις συγχωρήσεων—ἁμαρτάνων γάρ τις εἰς ἄνθρωπον, ἄλλον δὲ ἄνθρωπον εὖ ποιῶν, εἰς ἣν φύσιν ἥμαρτεν, αὐτῇ καὶ ἀπελογήσατο—ἡ δὲ εἰς τὸ Πνεῦμα βλασφημία—ἔστιν δὲ ἡ ἀπιστία μὴ ἔχουσα ἑτέραν πρόφασιν συγχωρήσεως εἰ μὴ τὸ γενέσθαι πιστόν—, εἰκότως τῷ ἐν τῇ ἀπιστίᾳ τὸν βίον κατακλείσαντι οὔτε ἐνταῦθα οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται τῆς ἀπιστίας καὶ ἀθείας ἡ ἁμαρτία.

(≡14A_262≡> **ΕΡΩΤΗΣΙΣ 190**

Ἐκ τοῦ Εὐαγγελίου· «ἀμὴν λέγω ὑμῖν· εἰσί τινες τῶν ὧδε ἑστώτων οἵτινες οὐ μὴ γεύσονται θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει». Ταῦτα μὲν ὁ Μάρκος, ὁ δὲ Ματθαῖος· «ἕως ἂν ἴδωσιν τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ».

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ τοῦ Θεοῦ Λόγος τοῖς καθ᾽ ἱστορίαν γινομένοις οὐ περιγράφεται, ἀλλὰ πάντοτε ἐνεργὴς ὢν ἡλίου δίκην τὸ οἰκεῖον φῶς ἐπιλάμπει, οὐ μόνον κατὰ τὴν ἱστορίαν τοῖς μαθηταῖς ἔλεγεν τὸ εἰσίν τινες τῶν ὧδε ἑστώτων, ἀλλὰ καὶ περὶ πάντων τῶν κατ᾽ αὐτοὺς τῇ ἀρετῇ διαλαμψάντων λέγει ἀντὶ τοῦ "τῶν τῇ βάσει τῶν ἀρετῶν πλησίον μου ἐχόντων τὴν στάσιν". Τὸ δὲ «οὐ μὴ γεύσονται θανάτου» εἴρηται μὲν καὶ περὶ τῶν ἀποστόλων, ὅτι οὐ μὴ γεύσονται τοῦ φυσικοῦ θανάτου ἕως ἂν ἴδωσιν διὰ τῆς Μεταμορφώσεως τὴν εἰκόνα τῆς μελλούσης ἔσεσθαι τοῖς ἁγίοις λαμπρότητος. Ἀλλ᾽ ἐπειδὴ οἶδεν ὁ λόγος διαφόρους θανάτους—καὶ γὰρ ἡ τῶν παθῶν νέκρωσις θάνατος λέγεται· ἀλλὰ καὶ ὁ πρακτικός, ἡνίκα τὴν πρὸς τὰ πάθη μάχην ἀφέμενος ἐπὶ τὴν φυσικὴν θεωρίαν ἔλθῃ, ἀπέθανεν τῇ προτέρᾳ καταστάσει, ἐνασχολούμενος τῇ τῶν ὄντων θεωρίᾳ, ἀργήσας ἐκ τῆς κατὰ τὴν πρᾶξιν ἀγωνιστικῆς μάχης· ἀλλὰ καὶ ὁ περάσας τὴν φυσικὴν θεωρίαν καὶ πάντα τὰ αἰτιατὰ καταλιπὼν καὶ εἰς τὸν αἴτιον ἐλθὼν διὰ τῆς θεολογικῆς ἀποφάσεως, καὶ οὗτος ἔθανεν τῇ προτέρᾳ καταστάσει, μηκέτι ἐν τοῖς πεποιημένοις κινούμενος ἀλλ᾽ ἐν τῷ ποιητῇ τῶν ὅλων μεταβιβάσας τὴν κίνησιν—περὶ οὖν τοῦ κατὰ ἀφαίρεσιν πάντων γινομένου θανάτου λέγει ὅτι οὐ μὴ γεύσονται αὐτοῦ, τουτέστιν οὐ μὴ πάθωσιν αὐτὸν (≡14A_264≡> οἱ τῶν ἀποστόλων κατ᾽ ἀρετὴν ἰσοστάσιοι, ἕως οὗ μεταμορφωθεὶς ὁ Κύριος παραδείξει ἑαυτὸν μηκέτι καταφασκόμενον ἐκ τῆς τῶν ὄντων θέσεως, ἀλλὰ τῇ κατὰ ἀπόφασιν θεολογίᾳ παραδεικνὺς τὸ ἀπρόσιτον τῆς θεότητος κρύφιον.

Τὸ δὲ λέγειν τὸν μὲν ἕνα τῶν εὐαγγελιστῶν "ἐρχόμενον τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ", τὸν δὲ ἕτερον "ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει", τοῦτο σημαίνει· ἐπειδὴ κατὰ μὲν τὴν θεότητα ἔστιν Υἱὸς τοῦ Θεοῦ, κατὰ δὲ τὸ ἀνθρώπινον γέγονεν δι᾽ ἡμᾶς Υἱὸς ἀνθρώπου, καθ᾽ ὃ μὲν οὖν ἐστιν Υἱὸς τοῦ Θεοῦ ἀεὶ τὴν δόξαν κέκτηται, κατὰ δὲ τὸ γενέσθαι Υἱὸς ἀνθρώπου λέγεται ἔρχεσθαι ἐν τῇ δόξῃ αὐτοῦ. Οὕτως γὰρ ἐδόξασεν τὴν προσληφθεῖσαν

ἀνθρωπότητα ὅτι ὥσπερ ἐν τῷ παθητῷ σώματι ὢν ὤφθη ἐν τῷ ὄρει μεταμορφωθείς, οὕτως ἡμεῖς ἐν τῇ ἀναστάσει ἄφθαρτον ἀπολαμβάνοντες σῶμα ἐσόμεθα· τὸ γὰρ εἰπεῖν ἐληλυθυῖαν ἐν δυνάμει ἐσήμανεν ὡς οὔπω ἐνεργείᾳ πάρεστιν ἡ ἐλπιζομένη τῶν ἁγίων ἄφθαρτος καὶ αἰώνιος βασιλεία.

ΕΡΩΤΗΣΙΣ 191

«Καὶ ἐγένετο μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς».

ΑΠΟΚΡΙΣΙΣ

Τὸ μεθ᾽ ἡμέρας ἓξ σημαίνει ὅτι ἐπειδὴ ἐν ἓξ ἡμέραις ὁ Θεὸς τὴν φαινομένην κτίσιν εἰς τὸ εἶναι παρήγαγεν, οἵτινες τῇ περιουσίᾳ τῶν ἀρετῶν καὶ τῆς γνώσεως τὰ φαινόμενα πάντα διέβησαν, οὗτοι τῷ Λόγῳ συναναβαίνουσιν ἐν τῷ τῆς θεολογίας (≡14A_266≡> ὄρει. Ἀλλ᾽ ἐπειδὴ ὁ Λουκᾶς ὀκτὼ ἡμερῶν ἐμνημόνευσεν καὶ δοκεῖ ἐναντιότητα τῶν εὐαγγελιστῶν δεικνύειν, τὸ ἄπορον ἐν τούτοις οἶμαι τὴν ἐπίλυσιν δέχεσθαι καὶ συντρέχειν τὴν ἱστορίαν ἁρμοδίως τῇ θεωρίᾳ· ὥσπερ γὰρ κατὰ τὴν ἱστορίαν ὁ τὰς ἓξ ἡμέρας εἰπὼν τὰς ἐν τῷ μέσῳ εἶπεν, ὁ δὲ τὰς ὀκτὼ εἰπὼν καὶ τὴν ἀρχὴν ἐν ᾗ εἶπεν ὁ Κύριος καὶ τὸ τέλος ἐν ᾗ ἡ Μεταμόρφωσις γέγονεν ἐσήμανεν, οὕτως καὶ κατὰ τὴν θεωρίαν· ἐπειδὴ γὰρ ὁ ἄνθρωπος διὰ τῆς παραβάσεως εἰς τὸ παρὰ φύσιν ἐξωλίσθησεν, δεῖ τὸν θέλοντα συναναβῆναι τῷ Λόγῳ εἰς τὸ τῆς θεολογίας ὄρος πρῶτον μὲν καθάπερ μίαν ἡμέραν περᾶσαι τὰ παρὰ φύσιν καὶ καθάπερ ἓξ ἡμέρας περᾶσαι τὴν φύσιν καὶ γενέσθαι ἐν τῇ ὑπὲρ φύσιν, ἥτις ἐστὶν ὀγδόη· ὑπερθετικὴ γὰρ τοῦ χρόνου αὕτη καὶ τὴν μέλλουσαν χαρακτηρίζει κατάστασιν.

Διατί δὲ «παραλαμβάνει Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην» μόνους κατ᾽ ἰδίαν; Ὡς ἀεὶ τοῦ Λόγου τὴν ὀχλώδη καὶ ταραχῆς ἀνάμεστον ἐκνεύοντος κατάστασιν, καὶ ἐπειδὴ ὁ Πέτρος κατὰ τὸ πρῶτον τοῦ Σίμωνος ὄνομα ‘ὑπακοὴ’ ἑρμηνεύεται, κατὰ δὲ τὸ Πέτρος δηλοῖ τὴν ἀτρεψίαν, σημαίνεται δὲ διὰ τούτων ἡ κατὰ τῶν τῆς ὑπακοῆς τῶν ἐντολῶν ἄτρεπτος καὶ ἀμετακίνητος εἰς Θεὸν πίστις, ὁ δὲ Ἰάκωβος ἑρμηνεύεται ‘πτερνιστής,’ δηλοῦται δὲ διὰ τούτου ἡ ἐλπίς—εἰ μὴ γάρ τις ἐλπίσῃ τῶν παρερχομένων τούτων καὶ φθαρτῶν ἀντιλαμβάνειν τὰ ἀπαρόδευτα καὶ ἄφθαρτα, οὐκ ἂν τὸν τὴν ἀπάτην ἀεὶ ἐν τοῖς αἰσθητοῖς ἔχοντα διάβολον πτερνίσαι δύναται—, ὁ δὲ Ἰωάννης ἑρμηνεύεται ‘περιστερά,’ δηλοῦται δὲ διὰ τούτου ἡ ἀγάπη, ἐπειδὴ ἡ πραότης οὐδὲν ἕτερόν ἐστιν ἢ θυμοῦ καὶ ἐπιθυμίας εἰς τὰ παρὰ φύσιν ἀκινησία, ὁ δὲ μήτε δι᾽ ἐπιθυμιῶν μήτε δι᾽ ἀποτυχίαν (≡14A_268≡> ὧν ἐπιθυμεῖ εἰς θυμὸν ἐρχόμενος προδήλως πάντας ἀγαπᾷ, τοῖς οὖν κτησαμένοις πίστιν, ἐλπίδα τε καὶ ἀγάπην συναναβαίνει ὁ Λόγος εἰς τὸ τῆς θεολογίας ὄρος καὶ μεταμορφοῦται ἔμπροσθεν αὐτῶν, οὐκέτι τῷ Θεὸς λέγεσθαι καὶ ἅγιος καὶ βασιλεὺς καὶ τὰ τοιαῦτα καταφασκόμενος, ἀλλὰ κατὰ τὸ ὑπέρθεος καὶ ὑπεράγιος καὶ πάντα τὰ καθ᾽ ὑπεροχὴν λεγόμενα ἀποφασκόμενος.

Πρόσωπον δὲ τοῦ Λόγου ἐστίν, ὅπερ ἔλαμψεν ὥσπερ ἥλιος, ἡ χαρακτηριστικὴ τῆς οὐσίας αὐτοῦ κρυφιότης, ᾗπερ ἐνατενίσαι τῇ τῶν λογισμῶν ἑρμηνείᾳ ἀδύνατον, ὥσπερ οὐδὲ τῇ λαμπρότητι τοῦ ἡλίου, κἂν εἰ πάνυ τις τὴν ὀπτικὴν δύναμίν ἐστιν κεκαθαρμένος. Ἀλλ᾽ ἐπειδὴ ἱμάτιον ἐμνήσθη ἡ Γραφή, χρὴ κατὰ τὸν εἱρμὸν τῆς ἀκολουθίας καὶ τοῦ

σώματος μνείαν ποιήσασθαι. Σῶμα οὖν τοῦ Λόγου ἐστὶν ἡ τῶν ἀρετῶν οὐσία, οἷον, ἡ ἀγαθότης, ἡ πραότης καὶ τὰ τοιαῦτα· ἱμάτια δὲ τοῦ Λόγου εἰσὶν τὰ τῆς Γραφῆς ῥήματα καὶ ἡ προβεβλημένη καὶ ἐκ Θεοῦ τὸ εἶναι λαβοῦσα κοσμουργία, ἅπερ λευκὰ βλέπουσιν οἱ τὸ μὲν γράμμα τῆς θείας Γραφῆς ἀποξέοντες τῆς ἐπικειμένης παχύτητος καὶ τῇ τοῦ Πνεύματος θεωρίᾳ τὸ λαμπρὸν τῶν νοημάτων ἐποπτεύοντες κάλλος καὶ οἱ τὴν αἰσθητὴν κτίσιν τῇ περιαιρέσει τῆς κατ᾽ αἴσθησιν ἀπάτης λαμπρῶς ἐποπτεύοντες καὶ ἐκ μεγέθους καλλονῆς τὸν ταύτης Δημιουργὸν ἀναλόγως συλλογιζόμενοι.

ΕΡΩΤΗΣΙΣ 192

«Καὶ ἰδοὺ ὤφθησαν Μωυσῆς καὶ Ἠλίας συλλαλοῦντες αὐτῷ· ἀποκριθεὶς δὲ Πέτρος εἶπε τῷ Ἰησοῦ· "Κύριε, καλόν ἐστιν ἡμᾶς εἶναι ὧδε· εἰ θέλεις, ποιήσωμεν τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωσῇ μίαν καὶ Ἠλίᾳ μίαν"».

(≡14A_270≡> **ΑΠΟΚΡΙΣΙΣ**

Οἱ γὰρ διαβαίνοντες ἀπὸ τοῦ γράμματος εἰς τὸ πνεῦμα ὁρῶσιν τόν τε νόμον καὶ τοὺς προφήτας συνόντας τῷ Λόγῳ καὶ διαπρυσίῳ καταγγέλλοντας φωνῇ τὴν αὐτοῦ παρουσίαν. Τίνος δὲ χάριν σκηνῶν ὁ Πέτρος ἐμνημόνευσεν; Ἐπειδὴ πᾶσα γνῶσις καὶ πᾶσα ἀρετή, συγκρινομένη τῇ μελλούσῃ καταστάσει, σκηνῆς εὐκαταλύτου οὐδὲν διενήνοχεν, κατὰ τὸν Ἀπόστολον φάσκοντα "εἴτε προφητεῖαι παύσονται εἴτε γνῶσις καταργηθήσεται". Τρεῖς δὲ σκηναί εἰσιν· πραγματική, φυσικὴ καὶ θεολογική· καὶ τὴν μὲν θεολογικὴν ὡς Θεῷ τῷ Κυρίῳ ἀπένειμεν, τὴν δὲ φυσικὴν θεωρίαν τῷ Μωυσῇ ὡς γεγραφότι τὴν τῶν ὅλων γέννησιν, τὴν δὲ πρακτικὴν τῷ Ἠλίᾳ ὡς παρθένῳ καὶ ζηλωτῇ καὶ ἀσκητῇ.

ΕΡΩΤΗΣΙΣ 193

Τίς ὁ λόγος τοῦ Μωσέα καὶ Ἠλίαν τεσσαράκοντα ἡμέρας νηστεῦσαι καὶ τί δήποτε ὁ Κύριος ὥσπερ τὰ τῶν δούλων ἐπισφραγίσας κατεδέξατο καὶ αὐτὸς τὰς αὐτὰς μ' (40) ἡμέρας ἄσιτος διαμεῖναι καὶ τί σημαίνει ὁ τεσσαράκοντα ἀριθμός;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ μὲν τεσσαρακοστὸς ἀριθμὸς ὡς κακωτικὸς πολλαχοῦ ἐν τῇ θεοπνεύστῳ παρείληπται Γραφῇ, ὡς οἱ κακοπαθήσαντες ἐν τῇ ἐρήμῳ Ἰσραηλῖται τεσσαράκοντα ἔτη καὶ οἱ αὐτοὶ δουλεύσαντες ἐν Αἰγύπτῳ τετρακόσια ἔτη. Ἀλλὰ γὰρ καὶ ὁ κόσμος οὗτος ἐν ᾧ τὴν κάκωσιν ὑπομένομεν ἐκ τεσσάρων συνίσταται στοιχείων. Ὁ οὖν Μωυσῆς ὡς πρῶτος νομοθετήσας καὶ νηπίοις οὖσι τοῖς Ἰουδαίοις τὸν νόμον παραδούς, τεσσαράκοντα νηστεύει ἡμέρας, σημαίνων ὅτι ἡ κατ᾽ αὐτὸν νομοθεσία τῶν κατὰ πρᾶξιν ἁμαρτημάτων τὴν ἀποχὴν νομοθετεῖ· πᾶσα γὰρ ἁμαρτία ἐκ τῶν αἰσθητῶν καὶ τῶν αἰσθήσεων συνίστασθαι πέφυκεν. (≡14A_272≡> Ὁ δὲ Ἠλίας τοῦ προφητικοῦ χαρίσματος τύπον φέρων ὡς ὑπεραναβεβηκὼς τὰ νομικὰ παραγγέλματα νηστεύει τεσσαράκοντα ἡμέρας, σημαίνων ὅτι τὸ προφητικὸν χάρισμα τὴν ἀποχὴν τῶν συγκαταθέσεων νομοθετεῖ. Ὁ δὲ Κύριος ὡς πληρωτὴς τοῦ νόμου καὶ μόνος ἄρας τὴν ἁμαρτίαν τοῦ κόσμου, νηστεύσας τὰς τεσσαράκοντα ἡμέρας, δέδωκεν ἡμῖν δύναμιν οὐ μόνον τῶν κατὰ πρᾶξιν καὶ συγκατάθεσιν ἁμαρτιῶν ἀπέχεσθαι ἀλλὰ καὶ αὐτῶν τῶν ψιλῶν φαντασιῶν ἀνωτέρους γενέσθαι.

ΕΡΩΤΗΣΙΣ 194

Τί σημαίνει ἐν τῷ Εὐαγγελίῳ ὅτε μετὰ τὸ πάντα πειρασμὸν τοῦ διαβόλου τοῦ Κυρίου ἀποκρουσαμένου ἐπισημαίνεται ὁ εὐαγγελιστὴς ὅτι «ἀπέστη ἀπ᾽ αὐτοῦ ὁ διάβολος ἄχρι καιροῦ»; Ποίου ἄρα καιροῦ;

ΑΠΟΚΡΙΣΙΣ

Διπλῶν τῶν πειρασμῶν ὄντων, ἑκουσίων τε καὶ ἀκουσίων, τουτέστιν ἡδονικῶν τε καὶ ἐπιπόνων, πρῶτον μὲν διὰ τῶν ἡδονικῶν πειράσας τὸν Κύριον ὁ διάβολος, διά τε γαστριμαργίας καὶ φιλαργυρίας καὶ κενοδοξίας—πάντα γὰρ ταῦτα ἡδονῆς εἰσιν ποιητικά—καὶ ἀποκρουσθείς, ἀπέστη ἄχρι καιροῦ. Ποίου καιροῦ; Τοῦ κατὰ τὸν σταυρὸν πάθους, ἵνα καὶ διὰ τῶν ἀκουσίων καὶ ἐπιπόνων πειρασμῶν, ὡς ᾤετο, προσβαλὼν τῷ Κυρίῳ, δυνηθείη εὑρεῖν ἐν αὐτῷ τι τῶν ἀνθρωπίνων παθῶν· ἀπεκρούσθη δὲ καὶ διὰ τούτων, καὶ θριαμβευθεὶς ἐν τῷ σταυρῷ κατηργήθη.

ΕΡΩΤΗΣΙΣ 195

Ἐπειδὴ μεμαρτύρηται ὁ Ἰωάννης ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου μείζων πάντων τῶν ἐν γεννητοῖς γενέσθαι—καὶ γὰρ καὶ ὁ βίος αὐτοῦ καθαρὸς καὶ ἁμαρτίας πάσης κεχωρισμένος ἦν—, τίνος *** *** λείπει

ΠΑΡΑΛΛΑΓΗ Α' ΕΡΩΤΑΠΟΚΡΙΣΕΩΝ

ἐρωτήσεις διάφοροι καὶ ἐκλογαὶ διαφόρων κεφαλαίων ἀπορουμένων

(≡14A_278≡>

ΕΡΩΤΗΣΙΣ Α,1

Τίνες ἀρεταὶ ψυχῆς καὶ τίνες σώματος;

ΑΠΟΚΡΙΣΙΣ

Ἀρεταὶ ψυχῆς εἰσιν αὗται· ἀγάπη, ταπείνωσις, πραότης, μακροθυμία, ἀνεξικακία, ἀμνησικακία, ἀοργησία, τὸ ἄθυμον, τὸ ἄφθονον, τὸ ἄκριτον, τὸ ἀκενόδοξον, ἐλεημοσύνη, σωφροσύνη, τὸ ἀφιλάργυρον, συμπάθεια, τὸ ἄτυφον, τὸ ἀνυπερήφανον, τὸ κατανυκτικόν. Ἀρεταὶ δὲ σώματός εἰσιν αὗται· νηστεία, χαμευνία, ἀγρυπνία, ἐγκράτεια, ἀκτημοσύνη, τὸ ἀπερίσπαστον.

ΕΡΩΤΗΣΙΣ Α,2

Τί ἐστιν τὸ ἐν τῷ Ἀποστόλῳ εἰρημένον "ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοῖ"; (≡14A_280≡> **ΑΠΟΚΡΙΣΙΣ**

«Ψάλλει τις τῷ πνεύματι» ὅτ᾽ ἂν μόνον τὴν προφορὰν τῶν ψαλλομένων διὰ γλώσσης φέρει· «ψάλλει δὲ τῷ νοῖ» ὅτ᾽ ἂν τὴν δύναμιν τῶν ψαλλομένων γινώσκων τῇ θεωρίᾳ εὐφραίνεται.

ΕΡΩΤΗΣΙΣ Α,3

Τί ἐστιν· «ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ προηγούμενος σκοπὸς τοῦ Θεοῦ ἦν τοῦ μὴ διὰ γάμου γεννᾶσθαι ἡμᾶς καὶ φθορᾶς, ἡ δὲ παράβασις τῆς ἐντολῆς τὸν γάμον εἰσήγαγεν διὰ τὸ ἀνομῆσαι τὸν Ἀδάμ, τουτέστιν

ἀθετῆσαι τὸν ἐκ Θεοῦ δοθέντα αὐτῷ νόμον, πάντες οὖν οἱ ἐξ Ἀδὰμ γεννώμενοι ἐν ἀνομίαις συλλαμβάνονται, ὑποπίπτοντες τῇ τοῦ προπάτορος καταδίκῃ. Τὸ δὲ καὶ «ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου» σημαίνει ὅτι ἡ Εὔα ἡ πάντων ἡμῶν μήτηρ πρώτη ἐκίσσησεν τὴν ἁμαρτίαν ὥσπερ ὀργῶσα τὴν ἡδονήν. Διὰ τοῦτο καὶ ἡμεῖς τῇ τῆς μητρὸς ὑποπίπτοντες καταδίκῃ κισσᾶσθαι λέγομεν ἐν ἁμαρτίαις.

ΕΡΩΤΗΣΙΣ Α,4

Τί ἐστιν τὸ παρὰ τοῦ Ἀποστόλου λεγόμενον "ἀνάθεμα (≡14A_282≡> εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν συγγενῶν μου";

ΑΠΟΚΡΙΣΙΣ

«Ηὐχόμην», φησίν, παραδοθῆναι ἀπὸ τοῦ Χριστοῦ τῷ διαβόλῳ ὥστε μαστιγωθῆναι καὶ τὰς ὑπὲρ τοῦ Ἰσραὴλ κολάσεις ὑπομεῖναι, ἅσπερ κατὰ τὸ δίκαιον ἐχρεώστουν ὑπὲρ τῆς εἰς Θεὸν αὐτῶν ἀπιστίας, μόνον ἵνα σωθῶσιν· καθ᾽ ὃν τρόπον καὶ ὁ Κύριος «παρέδωκεν ἑαυτὸν καὶ γέγονεν ὑπὲρ ἡμῶν κατάρα».

ΕΡΩΤΗΣΙΣ Α,5

Κατὰ πόσους τρόπους ἐξαμαρτάνει ὁ ἄνθρωπος;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι κατὰ τέσσαρας τρόπους ἁμαρτάνειν τὸν ἄνθρωπον, κατὰ συναρπαγήν, κατὰ ἀπάτην, κατὰ ἄγνοιαν, κατὰ διάθεσιν. Καὶ αἱ μὲν πρῶται τρεῖς εὐχερῶς εἰς ἐπίγνωσιν καὶ μετάνοιαν ἔρχονται, ὁ δὲ ἐκ διαθέσεως ἁμαρτάνων καὶ μήτε τῇ πείρᾳ μήτε τῷ χρόνῳ εἰς μετάνοιαν ἐρχόμενος ἀνήκεστον ἔχει τὴν κόλασιν.

ΕΡΩΤΗΣΙΣ Α,6

Τί δηλοῖ ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος λέγων ὅτι «δύο στρουθία ἀσσαρίου πωλεῖται»;

(≡14A_284≡> **ΑΠΟΚΡΙΣΙΣ**

Φασὶ τὸ ἀσσάριον δεκάνουμον εἶναι· δηλοῦται δὲ διὰ τοῦ δέκα τὸ ἰῶτα γράμμα· ἀρχὴ δέ ἐστιν τοῦτο τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐξαγοράζεται οὖν διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ὁ παλαιὸς καὶ ὁ νέος λαός, καὶ ὁ ἔσω καὶ ὁ ἔξω ἄνθρωπος.

ΕΡΩΤΗΣΙΣ Α,7

Τί ἐστιν τὸ ἀπὸ Ἐλισσαίου, ἀναλαμβανομένου τοῦ Ἠλίου, ῥηθὲν "ποῦ ὁ Θεὸς ἀφφώ;"

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ τρεῖς ἐπιβολὰς ἑρμηνεύεται· ἢ "ποῦ ὁ Θεὸς τοῦ πατρός μου;" ἢ "ποῦ ὁ Θεὸς τοῦ μεγάλου μου;" ἢ "ποῦ ὁ Θεὸς τοῦ κρυβέντος;"

ΕΡΩΤΗΣΙΣ Α,8

Κατὰ πόσους τρόπους αἱ ἀλληγορίαι καὶ τί ἐστιν τροπολογία;

ΑΠΟΚΡΙΣΙΣ

Ἀλληγορία ἐστὶν ἡ ἐπὶ τῶν ἀψύχων, οἷον, ὀρέων, βουνῶν, δένδρων καὶ τῶν λοιπῶν. Τροπολογία δέ ἐστιν ἡ ἐπὶ τῶν ἡμετέρων μελῶν, οἷον, κεφαλῆς, ὀφθαλμῶν καὶ τῶν λοιπῶν· τροπολογία γὰρ ἀντὶ τοῦ τρέπεσθαι λέγεται.

(≡14A_286≡> **ΕΡΩΤΗΣΙΣ Α,9**

Τί ἐστιν τὸ ἐν τῷ ψαλμῷ εἰρημένον "καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον";

ΑΠΟΚΡΙΣΙΣ

Ὁ τὴν τοῦ ὁμοπίστου πρᾶξιν κακηγορῶν καὶ ὥσπερ ἐγκαθήμενος τῇ τούτου λοιδορίᾳ, οὗτος εἰκότως λέγεται κατὰ τοῦ ἀδελφοῦ καταλαλεῖν. Ὁ δὲ τὸν υἱὸν τῆς σοφίας κοσμούμενον φθόνῳ φερόμενος ἐνδιαβάλλων καὶ πάντας σκανδαλίζων, οὗτός ἐστιν 'ὁ τιθεὶς τῷ υἱῷ τῆς μητρὸς σκάνδαλον'.

ΕΡΩΤΗΣΙΣ Α,10

Ἐπειδὴ ἐν τῷ ἁγίῳ Διαδόχῳ ἐν τῷ ἑκατοστῷ κεφαλαίῳ γέγραπται 'κριθήσεσθαί τινας διὰ πυρὸς καὶ καθαίρεσθαι ἐν τῷ μέλλοντι αἰῶνι', παρακαλῶ ἐκκαλυφθῆναί μοι διὰ τῆς σαφηνείας τὸν σκοπὸν τοῦ πατρός.

ΑΠΟΚΡΙΣΙΣ

Οἱ τὸ τέλειον τῆς πρὸς Θεὸν ἀγάπης κεκτημένοι καὶ τὸ πτερὸν τῆς ψυχῆς διὰ τῶν ἀρετῶν μετεωρίσαντες, κατὰ τὸν Ἀπόστολον ἐν νεφέλαις ἁρπάζονται καὶ εἰς κρίσιν οὐκ ἔρχονται. (≡14A_288≡> Οἱ δέ γε μὴ πάντη τὸ τέλειον κτησάμενοι ἀλλὰ καὶ ἁμαρτήματα καὶ κατορθώματα κεκτημένοι, οὗτοι ἐν τῷ δικαστηρίῳ τῆς κρίσεως ἔρχονται κἀκεῖ διὰ τῆς τῶν ἀγαθῶν καὶ φαύλων πράξεων ἀντεξετάσεως οἱονεὶ πυρούμενοι, εἴπερ ἡ τῶν ἀγαθῶν πλάστιγξ ἐπιβαρήσει, καθαίρονται τῆς κολάσεως.

ΕΡΩΤΗΣΙΣ Α,11

Περὶ διαφόρων δικαιοσυνῶν.

ΑΠΟΚΡΙΣΙΣ

Τρεῖς δικαιοσύνας οἱ τὰ θεῖα σοφοὶ λέγουσιν εἶναι, ἀνθρωπίνην, ἀγγελικὴν καὶ θείαν· καὶ τὴν μὲν ἀνθρωπίνην φασὶν τὴν ἐν τοῖς αἰσθητοῖς τοῦ κόσμου τούτου ἰσονεμίαν τε καὶ εὐγνωμοσύνην, τὴν ἀγγελικὴν δὲ τῆς θείας γνώσεως ἄφθονον μετάδοσιν· τὴν δὲ θείαν δικαιοσύνην ὁρίζονται τὸ πάσχειν ὑπὲρ τῶν ἁμαρτανόντων.

ΕΡΩΤΗΣΙΣ Α,12

Τίνος χάριν ἐπιτιμήσας ὁ Κύριος τῷ Πέτρῳ εἴρηκεν αὐτὸν σατανᾶν;

ΑΠΟΚΡΙΣΙΣ

Οὐχ ὥς τινες νομίζουσιν τὸν Πέτρον ἀποκαλεῖ σατανᾶν ὑβριστικῶς ὁ Κύριος, ἀλλ᾽ ἐπειδὴ αἱ τοῦ Κυρίου στερήσεις (≡14A_290≡> ἡμῶν ἕξεις ἐγένοντο, οἷον, ὁ αὐτοῦ θάνατος ἡμῖν ζωὴ γέγονεν, ἡ αὐτοῦ ἀτιμία ἡμῖν ἐγένετο δόξα. Ὁ οὖν ἀπόστολος Πέτρος, τοῦ Κυρίου λέγοντος μέλλειν πάσχειν αὐτόν, ὑπελάμβανεν τῇ φύσει τῶν πραγμάτων ἑπόμενος ὡς ἀδύνατόν ἐστιν τὴν ζωὴν ἀποθνήσκειν ἢ τὴν τοσαύτην δόξαν ἀτιμασθῆναι. Ὁ οὖν Κύριος τὴν ὑπόνοιαν ταύτην ἀναιρῶν, ὡς οὐ δεῖ φύσεως ἀκολουθίαν ἐν τοῖς ὑπὲρ φύσιν ἐπιζητεῖν—διὰ γὰρ τῶν ἐναντίων ταῦτα ποιήσας, βεβούλευται διὰ θανάτου ζωήν, δι᾽ ἀτιμίας δόξαν—ὡς οὖν ἀντικειμένην αὐτοῦ τὴν ὑπόνοιαν ταύτην λέγει· "ὕπαγε ὀπίσω μου" ἀντὶ τοῦ "ἕπου μου τῇ βουλῇ καὶ μὴ προλάμβανε ζητῶν ἀκολουθίαν πραγμάτων". Τὸ δὲ σατανᾶς ὄνομά φασιν ‘ἀντικείμενον’

ἑρμηνεύεσθαι· ὅπερ ὁ Κύριος οὐχ ὑβριστικῶς προήγαγεν ἀλλ᾽ ὡσανεὶ ἔλεγεν "ἀντικείμενέ μου τῷ σκοπῷ".

(≡14A_292≡> **ΕΡΩΤΗΣΙΣ Α,25**

Πῶς ὀφείλομεν εὐσεβῶς νοῆσαι τὸ τοῦ Εὐαγγελίου, ὅτι "ὁ Πατὴρ κρίνει οὐδένα ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ Υἱῷ" καὶ πῶς ἐν ἄλλῳ τόπῳ λέγει ὅτι "ἐγὼ κρίνω οὐδένα ἀλλ᾽ ὁ Λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτόν";

ΑΠΟΚΡΙΣΙΣ

Καθ᾽ ὃ Θεός ἐστιν, οὐδὲ ὁ Πατὴρ οὐδὲ ὁ Υἱὸς κρινεῖ οὐδένα· οὐδὲ γὰρ ἄνθρωπος ἀλόγων γίνεται κριτὴς ἀλλ᾽ ἀνθρώπων. Ὁ δὲ Πατὴρ δέδωκεν τῷ Υἱῷ τὴν κρίσιν, οὐ καθ᾽ ὃ Θεός ἐστιν ὁ Υἱὸς ἀλλὰ καθ᾽ ὃ ἄνθρωπος γέγονεν. Κρινεῖ δὲ πάντας συγκρίνων τὴν ἑαυτοῦ ὡς ἀνθρώπου πολιτείαν πρὸς ἡμᾶς. Πάλιν δὲ ὁ λόγος αὐτοῦ κρινεῖ, τουτέστιν ἡ διδασκαλία, ἥντινα διὰ τῶν ἔργων ἐνεδείξατο κατὰ τὸ γεγραμμένον "ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν".

(≡14A_294≡> **ΕΡΩΤΗΣΙΣ Α,27**

Τί δηλοῖ τὸ τῶν Παροιμιῶν αἴνιγμα τὸ «ἐὰν πεινᾷ ὁ ἐχθρός σου ψώμιζε αὐτόν, ἐὰν διψᾷ πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐχθρὸν ἔχομεν κατὰ τῆς ψυχῆς τὸ ἡμέτερον σῶμα, ἀεὶ διὰ τῆς ἐπαναστάσεως τῶν παθῶν πολεμοῦν ἡμᾶς. Ἐὰν οὖν ἐκ τῆς συνειδήσεως πιεζόμενον τὸ τῆς σαρκὸς φρόνημα πεινᾷ, τουτέστιν ὀρέγεται σωτηρίας, ἢ διψᾷ θείαν γνῶσιν, δέον τρέφειν αὐτὸ δι᾽ ἐγκρατείας καὶ πόνων καὶ ποτίζειν τῇ μελέτῃ τῶν θείων λογίων. Οὕτως γὰρ σωρεύεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, τουτέστιν ἐπὶ τὸν νοῦν· ἄνθρακες πυρός, θεῖοι καὶ πνευματικοὶ λογισμοί.

ΕΡΩΤΗΣΙΣ Α,28

Τί σημαίνει τὸ ἐν τῷ ἑκατοστῷ πρώτῳ ψαλμῷ εἰρημένον "ὡμοιώθην πελεκᾶνι ἐρημικῷ";

ΑΠΟΚΡΙΣΙΣ

Ὁ πελεκὰν οὗτος ὄρνεόν ἐστιν· ὁ δὲ ὄφις πολὺ ἐχθραίνει τῶν νεοττῶν αὐτοῦ. Αὐτὸς δὲ τί μηχανᾶται; Εἰς ὕψος πήγνυσι τὴν καλιὰν αὐτοῦ, πανταχόθεν περιφράσσων αὐτὴν (≡14A_296≡> διὰ τὸν ὄφιν. Τί οὖν ποιεῖ ὁ κακομήχανος ὄφις; Περισκοπεῖ ὅθεν πνέει ὁ ἄνεμος κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοττοῖς τὸν ἰὸν αὐτοῦ καὶ τελευτῶσιν. Ἔρχεται οὖν ὁ πελεκὰν καὶ θεωρεῖ ὅτι ἀπέθανον αὐτοῦ τὰ παιδία καὶ σκοπεῖ νεφέλην καὶ πέταται εἰς ὕψος καὶ μετὰ τῶν πτερύγων τύπτει αὐτοῦ τὰς πλευρὰς καὶ ἐξέρχεται αἷμα καὶ διὰ τῆς νεφέλης ἐπιστάζει τούτοις καὶ ἐγείρονται. Λαμβάνεται οὖν ὁ πελεκὰν εἰς τὸν Κύριον· τὰ δὲ παιδία αὐτοῦ, ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ἡ ἡμετέρα φύσις, ἡ δὲ καλιὰ αὐτοῦ ὁ παράδεισος, ὁ δὲ ὄφις ὁ ἀποστάτης διάβολος. Ἐνεφύσησεν οὖν ὁ ἀρχέκακος ὄφις διὰ τῆς παρακοῆς τοῖς πρωτοπλάστοις καὶ γεγόνασιν νεκροὶ τῇ ἁμαρτίᾳ. Ὁ γοῦν Κύριος ἡμῶν καὶ Θεὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὑψοῦται ἐπὶ τοῦ τιμίου σταυροῦ καὶ νυγεὶς τὴν πλευρὰν διὰ τῆς νεφέλης τοῦ ἁγίου Πνεύματος ζωὴν ἡμῖν ἐδωρήσατο τὴν αἰώνιον.

ΕΡΩΤΗΣΙΣ Α,29

Τί ἐστιν· «ἐκεῖ στρουθία ἐννοσσιεύσουσιν»;

ΑΠΟΚΡΙΣΙΣ

Στρουθία ἢ τὰς ψυχὰς ἢ τὰς διαφόρους ἀρετὰς λέγει.

ΕΡΩΤΗΣΙΣ Α,30

Τί σημαίνει· «τοῦ ἐρῳδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν»;

(≡14A_298≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἐρῳδιόν φασιν ὄρνεον εἶναι, τοσαύτῃ δὲ σωφροσύνῃ συζῆν, ὥστε ἡνίκα πρὸς συνουσίαν συνέρχεσθαι μέλλει, τεσσαράκοντα ἡμέρας πενθεῖν καὶ πάλιν μετὰ ταῦτα ἄλλας τεσσαράκοντα. Τὴν δὲ καλιὰν πήγνυσιν ἐν τοῖς δένδροις ἔνθα μὴ ἐπισκιάζεται ὑπό τινος ἀλλὰ καθαρὸν τὸν ἀέρα ἔχει. Σημαίνει δὲ διὰ τούτων τὴν σωφροσύνην· αὕτη γὰρ ἡγεῖται πασῶν τῶν ἀρετῶν· ἀποδιάκειται δὲ καὶ τῶν αἰσθητῶν, ἀπὸ μηδενὸς σκιαζομένη τῶν προσκαίρων· ὁ τεσσαρακοστὸς γὰρ ἀριθμὸς τὴν ἑκάστου τῶν τεσσάρων στοιχείων ἐμπεριέχει τελείωσιν.

ΕΡΩΤΗΣΙΣ Α,31

Τί ἐστιν τὸ «ἀποδιδοὺς ἁμαρτίας γονέων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσίν με»;

ΑΠΟΚΡΙΣΙΣ

Πρώτην γενεὰν ὑπειλήφαμεν εἶναι τὴν σποράν τοῦ κακοῦ, τουτέστιν τὴν προσβολήν, δευτέραν δὲ τὴν ἐπιθυμίαν, τρίτην δὲ τὴν ἕξιν τοῦ κακοῦ, τουτέστιν τὴν συγκατάθεσιν, τετάρτην δὲ τὴν ἐνέργειαν, τουτέστιν τὴν πρᾶξιν. Ἀποδίδοται οὖν ἕως τρίτης καὶ τετάρτης γενεᾶς, τουτέστιν ὑπὲρ τῆς συγκαταθέσεως καὶ τῆς πράξεως· ἡ γὰρ προσβολὴ καὶ ἡ ἐπιθυμία ἀνεύθυνός ἐστιν, ὡς μὴ εἰς πέρας τοῦ κακοῦ προελθόντος.

ΕΡΩΤΗΣΙΣ Α,33

Τί σημαίνει τὸ «ἐπὶ ταῖς τρισὶν ἢ τέσσαρσιν ἀσεβείαις Τύρου οὐκ ἀποστραφήσομαι»;

(≡14A_300≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἀσεβείας οἶμαι τέσσαρας τὸν προφητικὸν αἰνίττεσθαι λόγον, ταύτας, τὴν προσβολήν, τὴν ἐπιθυμίαν, τὴν ἕξιν τοῦ κακοῦ καὶ τὴν ἐνέργειαν. Ἐπὶ μὲν οὖν τῆς πρώτης καὶ τῆς δευτέρας, τουτέστιν τῆς προσβολῆς καὶ τῆς ἐπιθυμίας, ἀνοχὴν ποιεῖται ὁ Θεός, ὡς μὴ τοῦ κακοῦ προβάντος εἰς τελείωσιν. Ἐπὶ δὲ τῆς τρίτης καὶ τῆς τετάρτης ἀσεβείας, τουτέστιν ἕξεως καὶ ἐνεργείας ἤγουν συγκαταθέσεως καὶ εἴρξεως, τὴν ἀπειλὴν ὁ λόγος εἰκότως ἐνδείκνυται.

ΕΡΩΤΗΣΙΣ Α,34

Ὅτι οὐ δύναται λέγεσθαι ὁ Χριστὸς Πνεύματος καθάπερ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ὅτι λέγεται ἀδιαφόρως Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Χριστοῦ.

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ ἐστὶν αἴτιος τοῦ λόγου ὁ νοῦς, οὕτως καὶ τοῦ πνεύματος, διὰ μέσου δὲ τοῦ λόγου· καὶ ὥσπερ οὐ δυνάμεθα εἰπεῖν τὸν λόγον εἶναι τῆς φωνῆς, οὕτως οὐδὲ τὸν Υἱὸν λέγειν τοῦ Πνεύματος.

ΕΡΩΤΗΣΙΣ Α,35

Τί δηλοῖ τὸ ὑπὸ τοῦ Κυρίου λεγόμενον τὸ «ἐὰν ὁ ὀφθαλμὸς ἢ ἡ χεὶρ ἢ ὁ ποὺς σκανδαλίζῃ σε, ἔκκοψον αὐτοὺς καὶ βάλε ἀπὸ σοῦ»;

(≡14A_302≡> **ΑΠΟΚΡΙΣΙΣ**

Ἔστιν μὲν καὶ περὶ φίλων ὡς ὀφθαλμῶν, καὶ οἰκείων ὥσπερ χειρῶν ἡμῶν ὄντων ἀναγκαίων, καὶ ἑταίρων ποδῶν δίκην διακονούντων ἡμῖν ὑπονοεῖν τὴν παραβολὴν κατὰ τὸ πρόχειρον αἰνίττεσθαι· οὕσπερ, ἐὰν σκανδαλίζωσιν καὶ τὴν ψυχὴν καταβλάπτωσιν, ἐκκόπτειν ὁ λόγος παρεκελεύσατο. Ἔστιν δὲ καὶ ἄλλως ἐκλαβεῖν τὸ παράγγελμα κατὰ τὸν τῆς ἀναγωγῆς τρόπον· ἐὰν ἔχῃς θεωρητικὴν γνῶσιν ὥσπερ ὀφθαλμόν, πρὸς τύφον δὲ αὐτὴ ἐπαίρει σε καὶ ὑπερηφανίαν, ἔκκοψον αὐτήν· ἐὰν δὲ καὶ πρᾶξιν ἀστείαν, καὶ αἰτία σοι γίνεται ἐπάρσεως, ἔκκοψον αὐτήν· ὡσαύτως δὲ καὶ ἐὰν ἱκανότητα ἔχῃς διακονίας, ὅπερ ἐστὶν ὁ πούς, καὶ ὡς ἐκ τούτου φυσᾶσαι, ἀπόσθητι ἀπ᾽ αὐτῆς. Συμφέρει γάρ σοι παρὰ ταύτας τὰς δοκούσας εἶναι ἀρετὰς γενέσθαι καὶ μὴ διὰ τῆς ἐπάρσεως καὶ ὑπερηφανίας εἰς παντελῆ χωρῆσαι ἀπώλειαν.

ΕΡΩΤΗΣΙΣ Α,36

Τί δηλοῖ τὸ «ἐπήρθη ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς»;

ΑΠΟΚΡΙΣΙΣ

Ὅτ᾽ ἂν ἐν ἡμῖν ὑψωθῇ ὁ ἥλιος τῆς δικαιοσύνης διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς ἀληθοῦς γνώσεως, τότε ἡ σελήνη ἵσταται ἐν τῇ τάξει αὐτῆς, τουτέστιν ἡ ἡμετέρα φύσις, ἡ ὑπὸ τροπὴν οὖσα καὶ ἀλλοίωσιν, τάξιν λαμβάνει βάσιμον.

(≡14A_304≡> **ΕΡΩΤΗΣΙΣ Α,37**

Τί ἐστιν τὸ ἐν τῇ καθολικῇ Πέτρου γεγραμμένον "ἵνα κριθῶσιν μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσιν δὲ κατὰ Θεὸν πνεύματι";

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ περὶ τῶν ἐν τῷ κατακλυσμῷ εἴρηται ταῦτα, οὗτοι δὲ εἶχον παντελῆ ἀγνωσίαν Θεοῦ καὶ πονηροῖς ἐπιτηδεύμασι συνέζων, ὅσα μὲν οὖν εἰς ἑαυτοὺς ἡμάρτανον διὰ τῶν καθ᾽ ἑκάστην συμβαινόντων αὐτοῖς πειρασμῶν, πολέμων τε καὶ ἐπαγωγῶν καὶ ποικίλων συμβάσεων, ἀφῆκεν αὐτοῖς· τὰ δὲ περὶ τῆς εἰς αὐτὸν ἀγνοίας καὶ ἀσεβείας ἁμαρτήματα οὐκ ἀφῆκεν αὐτοῖς, ἵνα διὰ τῆς εἰς αὐτὸν πίστεως, ἡνίκα διὰ φιλανθρωπίαν ἐν τῇ τοῦ ᾅδου γένηται χώρᾳ, ὅσοι πιστεύσουσιν, ἀφεθῇ αὐτοῖς ἡ τῆς ἀσεβείας ἁμαρτία καὶ ζήσωσιν κατὰ Θεὸν πνεύματι, κριθέντες δηλονότι σαρκὶ καθὼς εἴρηται ὑπὲρ τῶν εἰς ἀνθρώπους πλημμελειῶν.

(≡14A_306≡> **ΕΡΩΤΗΣΙΣ Α,45**

Τί ἐστιν τὸ ἐν ψαλμοῖς εἰρημένον "σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός";

ΑΠΟΚΡΙΣΙΣ

Ἕξ εἰσιν σχολαὶ ἅστινας κατορθοῦντες Θεὸν ἐπιγνῶναι δυνάμεθα· πρώτη ἡ τῆς ἁμαρτίας ἐνεργείας, δευτέρα ἡ τῆς ἐξαπτικῆς διαίτης, τρίτη ἡ τοῦ τόπου τῆς ἐπιμιξίας τῶν ἀφυλάκτως βιούντων, τετάρτη ἡ τοῦ ἀπροσφόρου ἐπιτηδεύματος τοῦ κατὰ Θεὸν βίου, πέμπτη ἡ τῆς ὑπάρξεως τῆς διαβεβλημένης καὶ εἰς

πολλὰ περισπώσης τὸν νοῦν, ἕκτη τὸ μὴ ἔχειν καθόλου ἴδιον θέλημα. Καὶ τοῦτό ἐστιν καὶ ἀποταγὴ καὶ ὑποταγὴ ἡ ἀληθινὴ καὶ κατὰ Θεόν.

(≡14A_308≡> **ΕΡΩΤΗΣΙΣ Α,67**

Πῶς ὀφείλομεν νοεῖν τὴν περὶ συντελείας τοῦ Υἱοῦ ἄγνοιαν;

ΑΠΟΚΡΙΣΙΣ

Διπλῆ τίς ἐστιν ἄγνοια· ἡ μὲν διαβαλλομένη, ἡ δὲ ἀδιάβλητος, καὶ ἡ μὲν ἐφ᾽ ἡμῖν ἐστιν, ἡ δὲ οὐκ ἐφ᾽ ἡμῖν. Καὶ ἡ μὲν διαβαλλομένη καὶ ἐφ᾽ ἡμῖν, ἡ περὶ τὴν ἀρετὴν καὶ εὐσέβειαν ἄγνοια· ἡ δὲ ἀδιάβλητος καὶ οὐκ ἐφ᾽ ἡμῖν ἐστιν ὅσα (≡14A_310≡> θελόντων ἡμῶν γινώσκειν οὐ γινώσκομεν, οἷον, τὰ πόρρω γινόμενα, τὰ μέλλοντα γίνεσθαι. Εἰ οὖν ἐν τοῖς ἁγίοις προφήταις διεγινώσκετο τὰ πόρρω καὶ οὐκ ἐφ᾽ ἡμῖν χάριτι, πῶς οὐχὶ μᾶλλον πάντα ἐπίστατο ὁ Υἱὸς τοῦ Θεοῦ καὶ διὰ τοῦτο τὸ ἀνθρώπινον, οὐ φύσει ἀλλ᾽ ἑνώσει τῇ πρὸς τὸν Λόγον; Καθάπερ γὰρ σίδηρος πεπυρακτωμένος πάντα τὰ ἰδιώματα τοῦ πυρὸς ἔχει—φωτίζει γὰρ καὶ καίει—οὐ μὴν φύσει ἐστὶν πῦρ ἀλλὰ σίδηρος, οὕτω καὶ τὸ ἀνθρώπινον τοῦ Κυρίου, καθ᾽ ὃ μὲν ἡνώθη τῷ Λόγῳ, πάντα ἐπίστατο καὶ τὰ θεοπρεπῆ πάντα ἐν αὐτῷ διεδείκνυτο, καθ᾽ ὃ δὲ φύσις ἀνθρωπεία ἐν αὐτῷ ἥνωτο, λέγεται ἀγνοεῖν.

ΕΡΩΤΗΣΙΣ Α,68

Τί σημαίνει τὸ μοναχικὸν σχῆμα καὶ πρὸ τούτου τίς ἡ ἀπόκαρσις τῶν τριχῶν;

ΑΠΟΚΡΙΣΙΣ

Ὥσπερ πάντων τῶν ἐν τῷ σώματι μελῶν ἡ κεφαλὴ προτερεύει, οὕτως καὶ ἐν τῇ ψυχῇ ὁ νοῦς κεφαλῆς τρόπον ἐπέχει· τοῦτον οὖν ἀποκείρειν δεῖ πάντων τῶν κοσμικῶν νοημάτων. Τὸ δὲ κολόβιον, ἐπειδὴ τὸ μὲν ὅλον σῶμα σκέπει, μόνας δὲ τὰς χεῖρας γυμνοῖ, σημαίνει ὡς χρὴ τὴν ἠθικὴν φιλοσοφίαν ἐνδεδύσθαι ἀφῃρημένους τὰς πρακτικὰς τῆς (≡14A_312≡> ἁμαρτίας ἐνεργείας· αἱ γὰρ χεῖρες ὁμολογουμένως πράξεως καὶ ἐνεργείας εἰσὶν σύμβολον.

Ἡ δὲ ζώνη, ἐπειδὴ ἀπὸ νεκρῶν δερμάτων γίνεται, περισφίγγει δὲ ψύας καὶ ὀμφαλόν, σημαίνει τὴν νέκρωσιν διὰ τῆς ἐγκρατείας καὶ ὡς χρὴ ταύτην ἐπικεῖσθαι ἀεὶ ἐπὶ τῇ τῆς κακίας δυνάμει καὶ ἐνεργείᾳ· ἡ γὰρ δύναμις τῆς ἀντικειμένης τοῦ πονηροῦ δυναστείας ἐστὶν κατὰ τὸν Ἰὼβ «ἐπ᾽ ὀμφαλοῦ γαστρός», καὶ «αἱ ψύαι» κατὰ τὸν μακάριον Δαβὶδ πληροῦνται τῶν δαιμονικῶν ἐμπαιγμάτων· «ἐμπαίγματα» δέ εἰσιν αἱ διάφοροι τῆς πορνείας ἐνέργειαι.

Ὁ δὲ ἀνάλαβος, ἐπειδὴ καὶ ἐμπρὸς καὶ ὀπίσω τὸν σταυρὸν ἔχει, σημαίνει ὅτι χρὴ κατὰ τὸν Ἀπόστολον μὴ μόνον σταυρωθῆναι ἡμᾶς τῷ κόσμῳ ἀλλὰ καὶ τὸν κόσμον ἡμῖν, ἵνα φευγόντων ἡμῶν τὸν κόσμον μηδὲν ἐμποδὼν ἔχωμεν μὴ δὲ τῇ πρὸς αὐτὸν σχέσει διὰ τῆς ἐπιφαινομένης ἀπάτης ἐγκρατηθῶμεν, μήτε δὲ πάλιν ἐκ τῶν ὄπισθεν διωκόμενοι ἐκ τοῦ κόσμου, ἐκ τῶν ἀκουσίων πειρασμῶν ὑπενδώσωμεν τοῦ τόνου τῆς εὐσεβείας ἀλλὰ ἀναίσθητοι καὶ νεκροὶ διαμείνωμεν πρός τε τὰ ἀκούσια καὶ τὰ ἑκούσια πάθη.

Τὸ δὲ κουκούλλιον δηλοῖ τὴν φρουροῦσαν καὶ σκέπουσαν τὸν νοῦν ἡμῶν χάριν τοῦ Θεοῦ. Ὁ γὰρ ἀποκειράμενος τὰ τοῦ κόσμου νοήματα τὴν περικεφαλαίαν δέχεται τοῦ σωτηρίου.

Τὰ δὲ σανδάλια τοῦτον ἔχει τὸν λόγον· ἐπειδὴ ἐκ νεκρῶν δερμάτων εἰσίν, μικρῷ δὲ μέρει τοῦ σώματος ὑπόκεινται, (≡14A_314≡> τὸν αὐτὸν τρόπον ᾗπερ τὸ ὅλον σῶμα πρὸς τὰ ἴχνη τοῦ σανδαλίου ἔχει, οὕτω χρὴ τὴν ψυχὴν τῷ σώματι κεχρῆσθαι, καὶ τούτῳ νεκρῷ τῶν παρὰ φύσιν παθῶν.

Τὸ δὲ περιβόλαιον, ἐπειδὴ τετράγωνόν ἐστιν, ἐκ τεσσάρων δὲ στοιχείων καὶ ὁ κόσμος, σημαίνει ὅτι χρὴ περιβεβλῆσθαι ἡμᾶς τὴν φυσικὴν θεωρίαν, ὥστε μὴ πρὸς αἴσθησιν καὶ πάθη τὰ ὁρώμενα βλέπειν ἀλλὰ διὰ τοῦ ἐν αὐτοῖς λόγου πρὸς τὸν τούτων δημιουργὸν ἀνάγεσθαι. Τὸ δὲ τὴν ἀριστερὰν χεῖρα παραγυμνοῦσθαι σημαίνει ὅτι χρὴ τὰς ἀγαθὰς πράξεις ἐν ἡμῖν προφαίνεσθαι κατὰ τὸν τοῦ Σωτῆρος λόγον, ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσιν τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Τὸ δὲ μαῦρα τὰ ἐνδύματα εἶναι σημαίνει ὅτι χρὴ ἡμᾶς ἀφανεῖς εἶναι τῷ κόσμῳ, ὡς τὸ πολίτευμα ἔχοντας ἐν οὐρανῷ. Εἰ δέ τις τὸ παλλίον τετράγωνον ὂν καὶ εἰς τὰς γενικὰς τέσσαρας ἀρετὰς ἐκλάβοι, τοῦ εἰκότος οὐχ ἁμαρτήσεται.

ΕΡΩΤΗΣΙΣ Α,69

.....

ΑΠΟΚΡΙΣΙΣ

[«Εἰρήνην ὁ ἱερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ Ἐκκλησίᾳ ἐπιφθέγγεται, τὸν Κύριον τῆς καθέδρας μιμούμενος ἀναλαμβανόμενον, εἰρήνην τὴν οἰκείαν καὶ ἀφιέντα καὶ διδόντα. Τὸ δὲ «καὶ τῷ πνεύματί σου» τῷ λαῷ ἀποκρινόμενον (≡14A_316≡> τοῦτο δηλοῖ· εἰρήνην μὲν ἡμῖν παρέσχες, Κύριε, καὶ τὴν ἐν ἀλλήλοις ὁμόνοιαν· εἰρήνην δὲ δὸς ἡμῖν τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν, ἵνα τῷ Πνεύματί σου εἰρηνεύοντες, ὃ ἡμῖν ἐν ἀρχῇ τῆς δημιουργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν.]

ΕΡΩΤΗΣΙΣ Α,70

.....

ΑΠΟΚΡΙΣΙΣ

[Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; ὁ θεῖος ἔφη Ἀπόστολος. Εἰ ὅλως, φησίν, τὰ σώματα ἡμῶν οὐκ ἀνίστανται, τί καὶ ἐν τῷ βαπτίζεσθαι εἰς ἀφθαρσίαν αὐτὰ μεταποιεῖσθαι πιστεύομεν;]

ΕΡΩΤΗΣΙΣ Α,71

.....

ΑΠΟΚΡΙΣΙΣ

[Εἰ τῆς γραφικῆς ζητεῖς μουσικῆς διασάφησιν, οὕτως νοητέον. «Αἰνεῖτε τὸν Κύριον ἐν φωνῇ σάλπιγγος»· ἐν τῇ μνήμῃ τῆς ἀναστάσεως σάλπιγγι γῆ σειωμένη ὡς γέγραπται. «Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ»· τῇ γλώσσῃ ἡμῶν καὶ τῷ στόματι ὡς πλήκτρῳ τινὶ τῷ Πνεύματι κρουομένων. «Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ»· ἐν σαρκὶ καὶ ψυχῇ, ἀφ᾽ ἧς ὡς χοροὶ αἱ πρὸς Θεὸν διαβαίνουσιν δεήσεις. «Αἰνεῖτε (≡14A_318≡> αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ»· ἐν καρδίᾳ καὶ ἐν παντὶ τῷ ἔσωθεν σπλάγχνῳ καὶ

νεύροις, ἅπερ ὄργανον κέκληκεν. «Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις»· τοῖς χείλεσιν, δι᾽ ὧν τὰ ἐναρμόνια τῆς ψαλμῳδίας πλέκεται μέλη.]

ΕΡΩΤΗΣΙΣ Α,73

Ἐπειδὴ κατά τινα τῶν ἀντιγράφων τοῦ Ἀποστόλου περιέχεται ὅτι «πάντες μὲν κοιμηθησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα», κατά τινα δὲ ὅτι «πάντες μὲν οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα», παρακαλῶ μαθεῖν ποίαν χρὴ τῶν ἐκδόσεων ἐγκρῖναι καὶ τί τὰ ἐκ τούτων δηλούμενα;

ΑΠΟΚΡΙΣΙΣ

Οἶμαι ὅτι καθ᾽ ἑκατέραν τῶν ἐκδόσεων, ἐπειδὴ καὶ τὰ ἀρχαῖα τῶν ἀντιγράφων τὰς δύο περιέχουσιν, εὐσεβῶς τις ἐκλαμβάνων τοῦ ἀποστολικοῦ οὐκ ἀποπεσεῖται σκοποῦ. Κατὰ μὲν τὸ πάντες μὲν κοιμηθησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα, οὕτω χρὴ νοεῖν, ὅτι πάντες μὲν τὴν διὰ τοῦ θανάτου κοίμησιν ὑπομενοῦμεν, οὐ πάντες δὲ τὴν δόξαν καὶ τὴν παρρησίαν ἀνταλλαξόμεθα· ὅπερ ὁ αὐτὸς Ἀπόστολος ἐν ἄλλῳ σαφέστερον τίθησιν φάσκων "εἴπερ καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα". Κατὰ δὲ τὸ οὐ πάντες μὲν κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, οὕτω χρὴ ἐκδέχεσθαι, ὅτι πάντες μὲν οὐ κοιμηθησόμεθα τὴν χρονικὴν κοίμησιν, ὥστε δεηθῆναι ταφῆς καὶ λύσεως τῆς εἰς φθοράν· ἀλλὰ σύντομον τὸν θάνατον οἱ τότε εὑρισκόμενοι ὑπομενοῦσιν, (≡14A_320≡> μὴ δεόμενοι χρονικῆς κοιμήσεως διὰ τὴν παραυτίκα γινομένην ἀνάστασιν· πάντες δὲ ἀλλαγήσονται, τουτέστιν τὴν ἀφθαρσίαν ἐνδύσονται.

Ἔστι δὲ καὶ ἑτέρας θεωρίας ἐπιβολὴ περὶ τούτου· «οὐ πάντες κοιμηθησόμεθα», ταῖς ἁμαρτίαις τὴν παῦσιν καὶ τὴν ἀνενεργησίαν ποιησάμενοι, οὐδὲ τὰ ἑαυτῶν πάθη κοιμήσομεν κατὰ τὸ «ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ»· σημαίνει γὰρ ὁ τῶν θείων ἐρώτων τὰ Ἄισματα γεγραφὼς ὅτι ὁ πάντη ἀνενέργητος γενόμενος πρός τε τὰ αἰσθητὰ πάντα καὶ νοητά, οὗτος μόνῃ τῇ καρδίᾳ ἀγρυπνεῖ, μόνῃ τῇ τοῦ Θεοῦ θεωρίᾳ ἐνευφραινόμενος. Τὸ δὲ πάντες δὲ ἀλλαγησόμεθα τὴν κοινὴν δηλοῖ τῆς ἀφθαρσίας ἀλλαγήν.

ΕΡΩΤΗΣΙΣ Α,77

Τί ἐστιν τὸ ἐν τῷ Ἀποστόλῳ εἰρημένον τὸ «ὄφελον καὶ ἀποκόψονται»;

ΑΠΟΚΡΙΣΙΣ

Τοῦτο εἴρηται ἀντὶ τοῦ "θρηνήσουσιν καὶ κόψονται", εἰς (≡14A_322≡> μετάνοιαν ἐρχόμενοι ὧν ἥμαρτον ἀναστατοῦντες τοὺς πιστούς.

ΕΡΩΤΗΣΙΣ Α,78

Τίνος χάριν Μωαβεῖται καὶ Ἀμμανεῖται ἀπαγορεύονται εἰσελθεῖν εἰς τὸν ναὸν τοῦ Κυρίου «ἕως τρίτης καὶ τετάρτης καὶ δεκάτης γενεᾶς καὶ ἕως εἰς τὸν αἰῶνα»;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ Μωαβείτης ἑρμηνεύεται ‘ἕντερον πατρός,’ Ἀμμανείτης δὲ ‘πατὴρ μητρός,’ σημαίνεται διὰ τούτων ὅτι ὅστις ἀπ᾽ ἄλλου παραλάβῃ ὑπόδειγμα κακίας, οὗτος τὸ ἔντερον τοῦ πατρὸς ἐφανέρωσεν· ὅστις δὲ ἐξ αὐτοῦ τέκῃ τὴν ἁμαρτίαν, οὗτός

ἐστιν πατὴρ μητρός, τουτέστιν τῆς ἰδίας ἁμαρτίας. Οἱ τοιοῦτοι οὖν οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου ἕως τρίτης καὶ τετάρτης καὶ δεκάτης γενεᾶς καὶ ἕως εἰς τὸν αἰῶνα, τουτέστιν ὁ μὴ δι᾽ ἕξεως ἀγαθῆς καὶ πράξεως—αὕτη γὰρ τρίτη καὶ τετάρτη γενεὰ τῶν ἀρετῶν—καὶ διὰ τοῦ ὀνόματος καὶ τῆς πίστεως τοῦ Κυρίου Ἰησοῦ καὶ διὰ τὰς δέκα τοῦ νόμου ἐντολὰς καὶ διὰ τῆς τοῦ μέλλοντος αἰῶνος ἐσομένης παλιγγενεσίας ἑαυτὸν τῷ Θεῷ οἰκειῶν, οὐκ εἰσελεύσεται εἰς οἶκον Θεοῦ, τουτέστιν ἐν τῇ οὐρανίῳ πόλει, «ἐν ᾗ πάντων εὐφραινομένων ἡ κατοικία».

ΕΡΩΤΗΣΙΣ Α,79

Τί δήποτε ἐν μέρει λεπρὸς ἀκάθαρτός ἐστιν παρὰ (≡14A_324≡> τοῦ νόμου, ὁ δὲ ὁλόλεπρος ὢν καθαρός ἐστιν;

ΑΠΟΚΡΙΣΙΣ

Ὁ κατά τι μέρος λεπρὸς νεκρὸν ἔχει τὸ μέρος ᾧ ἐστιν ἡ λέπρα· ὑποφεύγοντος γὰρ τοῦ ζωτικοῦ αἵματος κοιλαίνεται ὁ τόπος, καὶ ἡνίκα τῇ ἁφῇ τοῦ ἱερέως ὑπέκυπτεν ἡ κοίλανσις τῆς λέπρας, ἐμίαινεν τὸν τοιοῦτον· οὕτω καὶ ὁ κατά τι μέρος τῆς ψυχῆς λεπρωθεὶς κοιλανθείσης τῆς ψυχῆς, τουτέστιν ταπεινωθείσης διὰ τῆς ὑποχωρήσεως τῆς ζωτικῆς δυνάμεως τῆς ἀρετῆς, ἀκάθαρτος γίνεται. Ὁ δὲ ὁλόλεπρος τὴν μὲν χροιὰν τοῦ λεπροῦ ἔχει, τὸ δὲ ζωτικὸν αἷμα δι᾽ ὅλου τοῦ σώματος ἔχει ἐν τῇ ἐπιφανείᾳ ἐνεσπαρμένον. Τοῦτο οὖν σημαίνει ὅτι ὁ εἰς τὸ ἔσχατον πέρας τῆς κακίας ἐλθών, εἶτα μεταμεληθεὶς ἐπαναλαμβάνει τὴν ζωτικὴν τῆς ἀρετῆς δύναμιν, μόνον δὲ τὴν συνείδησιν ἔχει κεχρωσμένην ταῖς προτέραις προλήψεσιν· οὐ δύναται γὰρ ἅπερ ἔπραξεν μὴ λογίζεσθαι ὡς μὴ πράξας· διὰ τοῦτο οὖν ὁ νόμος τὸν τοιοῦτον καθαρὸν ἀποφαίνει.

ΕΡΩΤΗΣΙΣ Α,81

Τί δήποτε ὁ Χὰμ ἔπταισεν καὶ ὁ Χαναὰν κατηράθη; καὶ εἰ κατὰ τὸ γράμμα τις τὴν τῆς Γραφῆς ἔννοιαν ἐκλάβοι, ἄδικος ἐν τούτῳ φανήσεται ὁ δίκαιος Νῶε, ἄλλου πταίσαντος ἐπ᾽ ἄλλῳ τὴν κατάραν φέρων· ἄλλως τε δέ, καὶ εἰ ὁ Χαναὰν κατηράθη, ἔδει (≡14A_326≡> πάντως καὶ τὸ ἐξ αὐτοῦ γένος κατηραμένον εἶναι, εὑρίσκομεν δὲ τὸ γένος αὐτοῦ μᾶλλον τῶν ἄλλων τῇ τοῦ Χριστοῦ προσδραμόν[τα] πίστει.

ΑΠΟΚΡΙΣΙΣ

Εὑρίσκομεν πανταχοῦ τὸν Θεὸν καὶ πάντας τοὺς ἁγίους κατὰ τῆς κακίας ἀγωνιζομένους καὶ ταύτῃ καταρωμένους. Ἐπειδὴ οὖν αὐτὴ πρώτως κατὰ τὴν ἕξιν ἐν τῷ ἀνθρώπῳ λαμβάνει τὴν γένεσιν, ἐκ ταύτης δὲ ἡ κατ᾽ ἐνέργειαν προέρχεται ἁμαρτία, εἰκότως ὁ Χαναὰν ὡς τὴν κατ᾽ ἐνέργειαν χαρακτηρίζων ἁμαρτίαν τῆς κατάρας τετύχηκεν. Εἰ δὲ καὶ κατὰ μόνην τὴν κίνησιν τῆς ψυχῆς τοῦτο σκοπῆσαι θέλεις, ὅπερ ἐστὶν ἐν τῷ συναμφοτέρῳ, σώματός φημι καὶ ψυχῆς, ἕξις εἰς τέλος μὴ προελθοῦσα, τοῦτο ἐνέργεια ἐν τῇ ψυχῇ.

ΕΡΩΤΗΣΙΣ Α,82

.....

ΑΠΟΚΡΙΣΙΣ

Πρόνοια τοίνυν ἐστὶν ἐκ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια· πρόνοιά ἐστιν βούλησις Θεοῦ, δι᾽ ἣν πάντα τὰ ὄντα τὴν πρόσφορον διεξαγωγὴν λαμβάνει.

(≡14A_328≡> **ΕΡΩΤΗΣΙΣ Α,83**

.....

ΑΠΟΚΡΙΣΙΣ

Ὤφθη τῷ Ἀβραὰμ δι᾽ ἀγγέλου, τῷ Μωυσῇ διὰ πυρὸς ἐν βάτῳ, Ἠσαΐᾳ διὰ τῶν σεραφίμ, Ἰεζεκιὴλ διὰ τῶν χερουβίμ· διαφόροις τρόποις ἑωρακέναι μεμαρτυρήκασιν οὗτοι πάντες.

ΠΑΡΑΛΛΑΓΗ Β' ΕΡΩΤΑΠΟΚΡΙΣΕΩΝ

(≡14A_332≡> **ΕΡΩΤΗΣΙΣ Β,6**

Τί ἐστι τὸ «ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό»;

ΑΠΟΚΡΙΣΙΣ

Κατὰ μὲν τὸν πρόχειρον νοῦν ὅτ᾽ ἂν ὁμόπιστοι ὦσιν, «ἰδοὺ τὸ καλόν»· ὅτ᾽ ἂν δὲ σύμφωνοι καὶ τοῖς ἔργοις, «ἰδοὺ τὸ τερπνόν». «Ἀδελφοὺς δὲ ἐπὶ τὸ αὐτὸ κατοικοῦντας» νόησον τὰς τρεῖς τῆς ψυχῆς δυνάμεις ἢ τὴν ψυχὴν καὶ τὸ σῶμα, ὅτ᾽ ἂν σύμφωνα ὦσι περὶ τὴν τῶν θείων γνῶσιν καὶ περὶ τὰς ἀγαθὰς πράξεις· ὅτ᾽ ἂν γὰρ εὖ πράττωσιν, «ἰδοὺ τὸ καλόν»· ὅτ᾽ ἂν δὲ καὶ ἡ γνῶσις συμφωνεῖ, «ἰδοὺ τὸ τερπνόν».

(≡14A_334≡> **ΕΡΩΤΗΣΙΣ Β,7**

«Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ».

ΑΠΟΚΡΙΣΙΣ

Μύρον ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον, κεφαλὴ δὲ ὁ νοῦς, πώγων δὲ ὁ λόγος· ἐμπεριέχει γὰρ τὴν καρδίαν ὁ λόγος. Πώγων δὲ Ἀαρὼν ὁ κατασφάττων ἐστὶ τὰ πάθη λόγος καὶ ἱερουργῶν τὰς ἀρετὰς τῷ Θεῷ. Καταβαίνει δὲ ἡ τοῦ Πνεύματος χάρις καὶ ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος, τουτέστι διαδίδοται διὰ τῆς πρακτικῆς καὶ ἐπὶ τὴν ἠθικὴν φιλοσοφίαν· ἡ γὰρ ᾤα τοῦ ἐνδύματος τὸ πέρας ἐστίν.

ΕΡΩΤΗΣΙΣ Β,8

Ὡς «δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών».

ΑΠΟΚΡΙΣΙΣ

Ὄρη Σιών εἰσιν οἱ τὰ ὑψηλὰ σκοπεύοντες ἅγιοι· ἐπὶ τούτους καταβαίνει ἡ δρόσος τοῦ Ἀερμών. Ἀερμὼν δὲ ‘θηρίων’ ἑρμηνεύεται ‘ἀποστροφή.’ Φασὶ δὲ καὶ τὸν Ἰορδάνην ἐκεῖ γεννᾶσθαι ποταμόν· σημαίνει δὲ διὰ τούτων τὴν τοῦ ἁγίου βαπτίσματος χάριν· αὕτη γὰρ ἀεὶ καταβαίνει ἐπὶ τοὺς ἁγίους καὶ δι᾽ αὐτῆς γίνεται ἡ τῶν νοητῶν θηρίων ἀποστροφή.

(≡14A_336≡> **ΕΡΩΤΗΣΙΣ Β,9**

Ὅτι «ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος».

ΑΠΟΚΡΙΣΙΣ

Ἀρραβὼν γὰρ καὶ τῶν ἀγαθῶν πάντων καὶ τῆς ἀϊδίου ζωῆς ἐστιν ἡ διὰ τοῦ ἁγίου βαπτίσματος διδομένη χάρις, ἧς μέτοχοι γενοίμεθα χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΕΡΩΤΗΣΙΣ Β,14

Πῶς νοήσομεν τὸ ἐν τῷ ἁγίῳ Διονυσίῳ γεγραμμένον, ὅτι «καὶ τὸ μὴ ὂν ἐφίεται» τοῦ Θεοῦ;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ οὐδὲν τῶν ὄντων ἐστὶν ὁ Θεὸς ἀλλ᾽ ὑπὲρ πάντα τὰ ὄντα, κατὰ τοῦτο καὶ τὸ μὴ ὂν θέσιν λαμβάνει· Κυρίως γὰρ ἐπ᾽ αὐτοῦ λέγεται τὸ μὴ ὄν, ἐπειδὴ οὐδέν ἐστι τῶν ὄντων.

(≡14A_338≡> **ΕΡΩΤΗΣΙΣ Β,18**

Τί ἐστιν· «εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»;

ΑΠΟΚΡΙΣΙΣ

Εὐκολώτερόν ἐστι, φησί, τὸ σκολιὸν τῶν ἐθνῶν—τοῦτο γὰρ ἡ κάμηλος—εἰσελθεῖν διὰ τῆς στενῆς καὶ τεθλιμμένης, ὅπερ ἐστὶν ἡ τρυμαλιά, εἰς τὴν τῶν οὐρανῶν βασιλείαν ἢ τῶν Ἰουδαίων τὸν λαὸν ἔχοντα νόμον καὶ προφήτας· ὥσπερ δὲ ἡ ῥαφὶς πίπτει εἰς δύο σχίσματα καὶ ἀποτελεῖ ἕν, οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅς ἐστιν ἡ ῥαφίς, συνῆψε τοὺς δύο λαούς, κατὰ τὸν Ἀπόστολον ποιήσας τὰ ἀμφότερα ἕν. Ἀλλὰ καὶ ὁ δι᾽ ἐγκρατείας λεπτύνας ἑαυτὸν καὶ κλώσας εὐκολώτερον εἰσέρχεται διὰ τῆς στενῆς πύλης εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἢ πλούσιος ὁ τραπέζῃ καὶ ἀνθρωπίνῃ δόξῃ ἑαυτὸν ἐμπλατύνων ἀεί.

ΕΡΩΤΗΣΙΣ Β,23

Διατί οἱ πρώην ἄνθρωποι ἔζων πολλὰ ἔτη, οἱ δὲ τελευταῖοι ὀλίγα;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ πάντη ἀθεΐαν ἐνόσουν οἱ πρώην, ᾠκονόμησεν ὁ Θεὸς πολὺν αὐτοὺς χρόνον παρακατέχεσθαι ἐν τῇ ζωῇ ταύτῃ, ὅπως διὰ τῶν ἀλλεπαλλήλων συμβάσεων εἰς αἴσθησιν αὐτοὺς ἀγάγῃ ὅτι ἔστιν τις πρόνοια ἡ τὴν ποικίλην τῶν γινομένων διεξάγουσα κίνησιν. Ἡ δὲ τελευταία γενεά, ἐπειδὴ γνῶσιν ἔλαβε τοῦ τε γραπτοῦ νόμου καὶ τοῦ πνευματικοῦ, διὰ τοῦτο οὐ παρακατέχεται τῇ πολυχρονίῳ ζωῇ.

ΠΑΡΑΛΛΑΓΗ Γ' ΕΡΩΤΑΠΟΚΡΙΣΕΩΝ

(≡14A_344≡> **ΕΡΩΤΗΣΙΣ Γ,1**

Τί ἐστι τὸ «ποιήσωμεν ἄνθρωπον. κατ᾽ εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν», καὶ ὑποκαταβὰς λέγει «καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν» καὶ παρέλειπεν τὸ καθ᾽ ὁμοίωσιν;

ΑΠΟΚΡΙΣΙΣ

Ἐπειδὴ ὁ πρῶτος τοῦ Θεοῦ σκοπὸς ἦν τὸ ἄνθρωπον γενέσθαι «κατ᾽ εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν», ἔστι δὲ τὸ «κατ᾽ εἰκόνα» ἡ ἀφθαρσία, ἡ ἀθανασία, τὸ ἀόρατον, ἅπερ εἰκονίζει τὸ θεῖον, ταῦτα δέδωκεν ἔχειν τῇ ψυχῇ, δεδωκὼς αὐτῇ μετὰ τούτων καὶ τὸ αὐτοδέσποτον καὶ αὐτεξούσιον, ἅπερ πάντα τῆς οὐσίας τοῦ Θεοῦ

εἰσιν εἰκονίσματα. Τὸ δὲ «καθ᾽ ὁμοίωσίν» ἐστιν ἡ ἀπάθεια, τὸ πρᾶον, τὸ μακρόθυμον καὶ τὰ λοιπὰ τῆς ἀγαθότητος τοῦ Θεοῦ γνωρίσματα, ἅπερ πάντα ἐνεργείας Θεοῦ εἰσιν παραστατικά. Τὰ οὖν τῆς οὐσίας αὐτοῦ, ἅπερ τὸ κατ᾽ εἰκόνα δηλοῦσιν, δέδωκε φυσικῶς τῇ ψυχῇ· ἃ (≡14A_346≡> δὲ τῆς ἐνεργείας εἰσὶν τοῦ Θεοῦ, τὸ «καθ᾽ ὁμοίωσιν» χαρακτηρίζοντα, ταῦτα τῇ ἡμετέρᾳ αὐτεξουσίῳ ἀφῆκε γνώμῃ, ἀναμένων τοῦ ἀνθρώπου τὸ τέλος, εἴ πως ἑαυτὸν διὰ τῆς μιμήσεως τῶν θεοπρεπῶν τῆς ἀρετῆς γνωρισμάτων τῷ Θεῷ ὅμοιον καταστήσῃ· διὰ τοῦτο οὖν παρέλειπεν ἡ θεία Γραφὴ ἐν τοῖς μετὰ ταῦτα λεχθεῖσιν τὸ «καθ᾽ ὁμοίωσιν».

(≡14A_350≡> (1393)

ΠΡΟΣ ΘΕΟΠΕΜΠΤΟΝ ΣΧΟΛΑΣΤΙΚΟΝ*

Ἐρωτήσαντα περί τοῦ κριτοῦ τῆς ἀδικίας καί τοῦ, «ἐάν τίς σε ῥαπίσῃ ἐπί τήν δεξιάν σιαγόνα», καί τοῦ, «μή μου ἅπτου, οὔπω γάρ ἀναβέβηκα πρός τόν Πατέρα».

Οἷς Λόγος ὑπάρχει τό προσκυνούμενον, τούτοις καί βίος ἐκφάντωρ Λόγου τό κατορθούμενον· ἵνα σφραγῖδα γνώσεως ἀληθοῦς τήν πεῖραν λαβόντες τῆς πράξεως, μάθωσιν ἀφ᾽ ὧν, ὡς θέμις, πεπόνθασιν, ὅσον τοῦ τί εἰδέναι, μεῖζον τό γίνεσθαι· καί τούτου μᾶλλον, τό ἀεί καί μᾶλλον, ἕως ἄν αὐτοῖς ἡ πρός τόν αἴτιον ἀδίστακτος οἰκείωσις, κατορθωθείη, στάσει τήν κίνησιν περιγράφουσα καί ἀτρεψίᾳ γνώμης τήν ἔφεσιν· οἷς καί ἡ κατά χάριν ἐκθέωσις, ἱερᾶς τῆς κατά τόνδε τόν βίον καί θεοειδοῦς ἀγωγῆς, ἔπαθλον ἀντιδίδοται. Πρός οὕς μάλα σοφῶς καὐτός ἀπευθύνων τόν βίον, θεοφύλακτε δέσποτα, ζητεῖν ἐπείγῃ τό πᾶσι προκείμενον δι᾽ ἀγαθότητα, καί πάντας δι᾽ ἀπειρίαν διαδιδράσκον· τό μέν, ἵν᾽ ἑλκύσῃ πρός ἑαυτό, τῷ ἀμηχάνῳ τῆς ὡραιότητος κεντρίζων τήν ἔφεσιν· τό δέ, ἵνα στομώσῃ, τῇ τῆς ὑπεραπείρου καταπλήξει καί θείας ὑπεροχῆς περιστέλλον τόν κόρον, ὕβρεως ὄντα πατέρα καί διαχύσεως γέννημα, τοῖς τήν φλογίνην ῥομφαίαν οὐ προθεωροῦσι σύν τοῖς Χερουβίμ τεταγμένην καί στρεφομένην, οὐκ ἄλλοις, ἤ τοῖς δίχα φόβον πρός (≡14A_352≡> ἀρετήν ἐπιστρέφουσιν· ἔνθεν τῷ μεγέθει τῆς ἐπί τά καλά προκοπῆς συνεπεκτείνων τό μέτριον, ᾧ καί μᾶλλον ἐπαύξεις σύν ἀσφαλείᾳ τήν πρόοδον· ἠξίωσας ἀγνώτην ὄντα με καί ταπεινόν ἐπιγνῶναι, δι᾽ οὗ τοῖς κατ᾽ αὐτήν ἡ φύσις τρόπου παρείχετο· φημί δέ, τοῦ γράμματος ὅ λόγος συνδεκτικός τῶν ἀπόντων ἐστί, καί τῶν οὐ βλεπομένων ἐμφανιστικός· τοσοῦτον νοήσει παραδιδούς καί συνάπτων τόν τέως αἰσθήσει μή γνωριζόμενον, ὅσον διά ταύτης αὐτός χαραττόμενος παχύνεται σωματούμενος· ᾧ καί τήν ἐμήν

---

* Τό κείμενο προέρχεται ἀπό τήν πατρολογία τοῦ Migne, τόμος 90ος (τό δακτυλογράφησε ἡ μητέρα τοῦ π. Ἀρσενίου Μέσκου), σέ ἀντιπαράθεση μέ τό κείμενο τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 14 Α**.

οὐδένειαν εἰς πόθον ἤγαγες τόν ὑμέτερον πλέον, ᾗ θέαν τήν οἰκείαν ἀσωμάτως κεκίνηκας· προδείξας αὐτόν ἐπ᾽ ἀμφοῖν τούτοιν ἔχειν μᾶλλον τό ἴσον περί τόν λόγον, ἤ ὅσον ἕτεροι περί σέ τήν τοῦ λόγου χάριν παρά τούς ἄλλους προτερήματα· οἷς διά βίου κοσμούμενος, (=1396=) πῶς ποτε τήν ἐμήν ἀμβλυωπίαν πρός θεωρίαν ἐνάγειν ἐσπούδασας, ἱερῶν καί ταῦτα λόγων, καί ὧν ἡ ἐπίβασις, κρεῖττον ἤ κατά ἄνθρωπον, τόν οὔπω τελείως ὑπεραναβάντα τήν τῶν ἀστάτων καί διαστατῶν φύσιν καί γένεσιν· μή ὅτι γ᾽ ἐμοί τῷ φορυτῷ τούτων ἑκουσίως συμφυρομένῳ, καί σκώληκος δίκην τῇ σήψει τῶν ἀκαθάρτων καλινδουμένῳ καί ἡδομένῳ παθῶν. Πλήν τῆς εὐπειθείας χάριν, καί τῆς ὑμετέρας ἀγάπης τιμήν, τῶν ὑπέρ ἀξίαν κατατολμῶν, ἐκεῖνά φημι περί ὧν ἐκελεύσατε· στοχαστικῶς, ἀλλ᾽ οὐκ ἀποφαντικῶς.

Κριτήν ἀδικίας ἐν τῷ Εὐαγγελίῳ παραβολικῶς ὑπάρχειν καί λέγεσθαι, τόν ἡμέτερον λογισμόν, ἀρχῆθεν ἐκ παραβάσεως ἄδικων πεποιημένον τήν κρίσιν· ὡς τήν τοῦ Κτίσαντος μέν οὐ δεξάμενον ἐντολήν· τήν δέ τοῦ φθείροντος ἑλόμενον συμβουλήν· ἐξ οὗ καί τό χοϊκός εἶναι, τοῦ εἶναι, καί τοῦ θεός γενέσθαι πάμπολυ προετίμησε. Πόλιν δέ εἶναι τούτου, τήν αἴσθησιν, ἤ τόν ὁρώμενον κόσμον· οἷς παραλόγως κατά σχέσιν ἐπαναπαυόμενος, (≡14A_**354**≡> τῆς κατοικίας τήν παροικίαν ἠλλάξατο· μήτε Θεόν φοβούμενος, μήτε μήν ἄνθρωπον τόν αὐτόν γεγενημένον δι᾽ ἡμᾶς ἐντρεπόμενος· τό μέν, διά τήν ἄνοιαν· τό δέ, διά τήν καταφρόνησιν· ἐκείνην τε μή προορωμένην τῶν κριμάτων τό μέγεθος καί ταύτην οὐκ εἰργομένην, ἤν τέως ἡ χρηστότης προσμένουσα τήν μεταβολήν ἀναστέλλει, τήν βάσανον· αἷς ἑαυτόν αὐθαδῶς περιέσπειρε, τῇ δεδομένῃ παρά τοῦ Κτίσαντος εἰς ἐξάνυσιν τῶν καθηκόντων αὐτεξουσίῳ τιμῇ παρά τό δέον ἀποχρησάμενος· καί τοῦ νοουμένου τό φανέν ἀγαθόν κρίνας, ὅ μή θέμις ἦν, αἱρετώτερον.

Χήραν δέ διοχλοῦσαν, τήν λογικήν ψυχήν ἅτε δή πρός καρπογονίαν ἱερῶν καί ὁσίων ἔργων οὐκ ἔχουσαν τόν τά καλά κατά φύσιν σπείροντα λόγον. Μόνῃ τῇ πρός αὐτήν ὁλικῇ ταύτῃ στοργῇ καί διαθέσει κρατούμενον· ἀλλ᾽ οὐ προσμένοντα διά τήν ἀπόνευσιν, καί τήν αὐθαίρετον πρός τά τῆδε ῥοπήν.

Ἀντίδικον δέ ταύτης, φημί τῆς ψυχῆς, τό τῆς δυστήνου σαρκός ἔνυλον κίνημά τε καί φρόνημα, δι᾽ οὗ τῆς ἐν ἡμῖν θείας εἰκόνος καί τοῦ κατ᾽ αὐτήν ἀξιώματος, τό τε κάλλος καταμολύνειν σπουδάζουσι, καί τό διαυγές ἀμαυροῦν οἱ ἀκάθαρτοι δαίμονες, ὁπηνίκα, δι᾽ ἡδονῆς ὑποπίπτουσιν, ἐπεισφρήσουσι δεινῶς ἡμῖν τά τῆς ἀτιμίας αἴσχη καί πάθη· δι᾽ ἅ καί ὁ θάνατος κατεκρίθη τῆς φύσεως, οὐχ ἑλομένης τό ἀπαρχῆς τῆς ὄντως κατατρυφῆσαι ζωῆς.

Ὑπωπιασμούς δέ τούς ἐκ τῆς συνειδήσεως μεθ᾽ ὑποφωνήσεώς τινος παρακλητικούς αἰκισμούς, οἷς προτινομένοις ἐκ τῆς ψυχῆς, ἠρέμα πως εἴωθεν κάμπτεσθαι τό αὐστηρόν τοῦ λογισμοῦ, καί πρός τά καλά διά τήν χρονιωτέραν ἕξιν ἀνύπεικτον, οὐ φέροντος ἐνδομυχοῦσαν, (=1397=) καί οἷον αἰκίζουσάν τε συνεχῶς καί διοχλοῦσαν τήν βάσανον· ἕως λυμήνηται τά τήν ψυχήν λυμαινόμενα πάθη, δι᾽ ἐγκρατείας, καί τῆς πρός τά μέλη τῆς σαρκός (≡14A_**356**≡> ἑκουσίου νεκρώσεως. Εἶτα καί πρός ἀγχιστείαν

αὐτοῦ τοῦ λόγου δι᾽ εὐσεβείας, καί τῆς περί τά κρείττω τελεωτέρας ἀγάγοι σπουδῆς, οἷς φυσικῶς ἐνεργουμένοις, τά οἰκεῖα καί πατρικά παραβάλλων, ὁ ὑπέρ οὐσίαν καί φύσιν Θεός Κύριος ἡμῶν Ἰησοῦς Χριστός, «ὁ δέ Θεός οὐ μή ποιήσῃ», φησί, «τήν ἐκδίκησιν ὑμῶν», δι᾽ ἐμοῦ σαρκωθέντος, καί τήν τοῦ καθαιρέτου τῆς φύσεως ποιουμένου καθαίρεσιν.

Οὕτω μέν οὖν τά περί τούτου διεξῆλθον ἐπιτόμως ἐγώ, καθ᾽ ὅσον τό ἐγχωροῦν τῆς διανοίας μέτρον ἐπήρκεσεν· εἰ καί ἄλλως ἄλλοι τόν τόπον κατανοήσαντες· οἱ μέν εἰς Χριστόν· οἱ δέ τοὔμπαλιν, εἰς τόν Ἀντίχριστον ἐξειλήφασι. Δέος δέ μοι νοεῖν, ἤ λέγειν ἑκάτερα· τό μέν, ὡς ἀσύγκριτον· οὐ γάρ μείων μέν Υἱοῦ· μείζων δέ Πατρός, ἡ ἐκδίκησις· ἤ δι᾽ ἄλλου, καί ἄλλη τό σύνολον, πλήν τοῦ Υἱοῦ. Καί πῶς ἐπί τῆς αὐτῆς συγκριτικῶς φησι, τό, «ὁ δέ Θεός», φησίν, «οὐ ποιήσει τήν ἐκδίκησιν ὑμῶν»; Οὐ γάρ ἔχει χώραν· ἤ διάφορος πάντως δειχθήσεται, καί μετά τῆς φύσεως οὐ δυναμένης τό ἴσον δρᾷν· καί διά τοῦτο λοιπόν οὐ συντασσομένης· εἰκονιζούσης δέ μόνον, ὡς ὑπερκειμένην, τήν ὑπερέχουσαν. Τό δέ, ὡς ἀνέκδεκτον καί ἀμήχανον, τό καλόν ποιεῖν τόν κακίας εὑρετήν καί διδάσκαλον· «οὐ γάρ δύναται», φησί, «δένδρον σαπρόν καρπούς καλούς ποιεῖν»· καλόν δέ ἡ ἐκδίκησις, καί τόν τήν ὄχλησιν ἀφοσιοῦσθαι δεόντως τοῦ προσπελάζοντος· ἤ τούτῳ παραβάλλεσθαι τυχόν, ὅ μή θέμις, τόν Πατέρα, καί πάσης ἀρετῆς καί ζωῆς χορηγόν ἐξ Υἱοῦ, καί ταῦτα μονογενοῦς, καί ἴσου τήν φύσιν καί τήν ἀγαθότητα. Οὐ γάρ τά καλά διά τῶν κακῶν μηνύεσθαι πέφυκεν, ὥσπερ οὐδέ διά σκότους τό φῶς, ἤ θανάτου ζωή· καί τοῦ μηδαμῶς ὄντος, τό ὄν. Καί οὐ λέγω ταῦτα πρός τήν ἐκείνων ἀθέτησιν· ἔχομαι (≡14A_358≡> γάρ καί ἀντέχομαι ζωῆς πλέον, τῆς τῶν φαμένων διδασκαλίας· ἀλλά τό οἰκεῖον μέτριον δι᾽ ἄκραν δειλίαν ἀσφαλιζόμενος. Τήν δέ ἀνάγνωσιν τοῦ ὑπωπιάζειν κανονίζειν οὐ πρέπον ἐμοί, διά τήν ἐν τούτοις ἀμαθίαν, ἤ τοῖς ἠσκημένοις καί σπουδῇ προελομένοις τήν παίδευσιν· οἵ ταύτην ὀφείλειν φασί κανονίζεσθαι βαρυτόνως μᾶλλον, ἤ περισπωμένως, ὅτι τέ φασι τῶν ῥημάτων οὐδέν περισπᾶται, πλήν εἰ μή ἐκ συναιρέσεως βαρυτόνου καθέστηκεν, ὡς τό, νοῶ, καί ποιῶ, καί χρυσῶ, καί ὅσα τοιαῦτα, φυλάσσοντα καί μετά προθέσεως ἐπί τῆς αὐτῆς τόν τόνον.

Τήν δεξιάν, σιαγόνα, τήν δεξιάν πρᾶξίν φημι, καί ὅσην ἐνθέος ἡμῖν διά τῶν ἐντολῶν συνιστάμενος βίος χαρακτηρίζει, ῥαπιζομένην ὑπό τοῦ πονηροῦ τῇ προλήψει τῆς ἐνεργουμένης καλοκαγαθίας· (=1400=) καί τῇ πληγῇ τῆς ἐντεῦθεν οἰήσεως, φλεγμαίνουσάν πως διά κενοδοξίας, καί ἐπαιρομένην κατά τῶν μηδεμίαν, ἅ μή τήν ἴσην τυχόν κεκτημένων· δι᾽ ἣν ὥσπερ ἄλλην καί οἷον ἀριστεράν στρέφειν προσήκει, τόν ἤδη πρότερον ἡμᾶς κατά τήν ἀπάτην τοῦ αἰῶνος τούτου καταμολύναντα βίον, τούτῳ τε πλήττεσθαι συνεχῶς διά τῆς μνήμης· καί ὡς ἁμαρτωλούς μᾶλλον συστέλλεσθαι καί μετριάζειν, ἤ ὡς ἁγίους μετεωρίζεσθαι, καί δι᾽ ἔπαρσιν καταπίπτειν, οὐκ ἔχοντας πῆξιν ἱεράν τήν ταπείνωσιν. Τιμάσθω δέ μετά τῶν κατά θεωρίαν λαμβανομένων· μᾶλλον δέ καί πρό τούτων, εἰς ἑτοιμασίαν ἱεράν καί προκάθαρσιν,

καί σωματικῶς ταῦτα τελούμενα διά τόν ἐντειλάμενον Κύριον· προσπαθείας ἐντεῦθεν ἕξιν τοῖς κατορθοῦσι δορούμενον, καί τῆς τοῦ πλήττοντος περιγραφήν ἀπιστίας, τῷ ἑτοίμῳ τῆς παραδοχῆς τό πρόθυμον τῆς πληγῆς ἀναστέλλοντα, αἰδομένου τυχόν, εἰ μή τι ἄλλο, τό ὑπερβάλλον τῆς ὑποπτώσεως· καί τό μηδαμῶς ἀντιτείνεν τόν δυνάμενον τοῦτο ποιεῖν, εἰργόμενον δέ διά τήν πρόσαξιν.

Τό δέ, «μή μου ἅπτου», πρός τήν Μαγδαληνήν λέλεκται (≡14A_360≡> Μαρίαν παρά τοῦ Κυρίου, κηπουρόν αὐτόν εἶναι νομίσασαν· δηλοῦντος τοῦ μυστηρίου, καί ὑπεκφαίνοντος, ὡς ψυχή πᾶσα νοερά, μήπω τό συμφυές σκῆνος ὑπεραναβᾶσα, καί διά τοῦτο τῶν ἐν γενέσει καί φθορᾷ μόνον, οὐδέν οὐδαμῶς διαφερόντων λαχάνων κηπευομένων· ἴση γάρ ἐπ᾽ ἀμφοῖν ἥ τε ῥοή καί ἀπορῥοή, καί ἡ τοῦ χρόνου περιγραφή καί περίοδος· δημιουργόν εἶναι τόν Λόγον ὑπολαμβάνουσα, διά τήν περί ταῦτα, καί ἕως τούτων πρόοδον αὐτοῦ καί συγκατάβασιν· οὐκ ἀξία τῆς τούτου κατά πνεῦμα καθέστηκεν ἐπαφῆς, καί ταῦτα τοῖς φαινομένοις αὐτόν ἐπιζητοῦσα· καί σάρκα δι᾽ ἡμᾶς γεγενημένον γινώσκουσα μόνον αὐτόν· ἀλλ᾽ οὐχί πρεπόντως καί Θεόν ἐκ Θεοῦ τοῦ Πατρός γεγεννημένον γινώσκουσα. Τοῦτο γάρ κατὰ τό εἰκός νοεῖν ὑποβάλλει, τό, «οὔπω ἀναβέβηκα πρός τόν Πατέρα μου», τό μή δι᾽ ἄκρας θεολογίας καί πίστεως, οἷς ἡ τῶν ὁρωμένων περιγράφεται φύσις, ὑψωθῆναι πρός τῆς οὕτω διακειμένης ψυχῆς· ἀλλ᾽ ἔτι παιδαγωγικῶς δεομένης εἰς ἐντελεστέραν τούτου κατάληψιν, ἐπί τήν ἀποκαλυπτικήν ἕξιν τῶν θείων ὡσεί τινα Γαλιλαίαν διά θεωρίας ἀναδραμεῖν· καί σύν τοῖς ὑπ᾽αὐτοῦ προτετυπωμένοις καί προβεβλημένοις λόγοις, ὅλον ὡς θέμις περιληφθῆναι, καί γενέσθαι τοσοῦτον ὅπερ αὐτός ἦν ὁ γενόμενος ὅπερ ἡμεῖς, ὅσον ἐδείχθη τοῦτο γενόμενος πλήν μόνης τῆς ἁμαρτίας, ὡς καί ἡμεῖς ἐκείνῳ δίχα μόνης τῆς φύσεως, ἡνίκα τῆς δωρεᾶς τῆς ἐπιτύχοιμεν· ἥν δι᾽ ἐλπίδος νῦν προσδεχόμενος, καί προσήκουσι τῶν ἐντολῶν ἔργοις δεόντως ἀποσεμνύνων, ἀπολαύσαις ὅσον ἐπίστευσας, καί τρυφήσαις ὅσον ἐπόνησας· μᾶλλον δέ πλέον καί ἀπειράκις ὅσον καί ὁ ταύτης δοτήρ ὑπερουσίως ὑπερανέστηκε καί φύσεως κίνησιν, καί παντός αἰῶνος περίληψιν.

(≡14A_364≡>

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΝΘ' (59) ΨΑΛΜΟΝ*

«Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις, εἰς στηλογραφίαν τῷ Δαυΐδ, εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν καὶ Συρίαν Σωβὰ καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας».

«Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις» ὁ παρὼν ἐπιγέγραπται ψαλμός, διά τε τὴν ἐπὶ τέλει τῶν χρόνων διὰ τῆς ἐπιδημίας τοῦ Χριστοῦ γενομένην τοῖς ἀνθρώποις ἐξ ἀπιστίας εἰς

* Τό κείμενο προέρχεται ἀπό τήν πατρολογία τοῦ TLG, σέ ἀντιπαράθεση μέ τό κείμενο τῶν ἐκδόσεων "ΤΟ ΒΥΖΑΝΤΙΟΝ" τῆς σειρᾶς "ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ" Θεσσαλονίκη 1992, ΦΙΛΟΚΑΛΙΑ ΤΩΝ ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ, **τόμος 14 Α**.

πίστιν καὶ ἀπὸ κακίας εἰς ἀρετὴν καὶ ἀγνοίας εἰς γνῶσιν Θεοῦ γνωμικήν τε καὶ προαιρετικὴν μεταβολὴν καὶ ἀλλοίωσιν, διά τε τὴν εἰς ὕστερον ἐπὶ τέλει τῶν αἰώνων γενησομένην δι᾽ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ καθολικὴν τοῦ παντὸς γένους τῶν ἀνθρώπων ἐν χάριτι φυσικὴν ἐκ θανάτου καὶ φθορᾶς εἰς ζωὴν ἀθάνατον καὶ ἀφθαρσίαν διὰ τῆς προσδοκωμένης ἀναστάσεως ἀλλοίωσίν τε καὶ ἀνανέωσιν· «εἰς στηλογραφίαν» δὲ τῷ «Δαυΐδ», τουτέστιν αὐτῷ τῷ Χριστῷ, διά τε τὴν γεγενημένην ἤδη κατὰ τὴν θείαν αὐτοῦ σάρκωσιν, στήλης δίκην, ἐν αὐτῷ μὲν ὡς ἀρχηγῷ καὶ Σωτῆρι, καὶ μετ᾽ αὐτὸν ἐν τοῖς κατ᾽ αὐτὸν εὐσεβῶς βιοῦσι τῆς κακίας ἀναίρεσιν, διά τε τὸν ἔτι δι᾽ αὐτοῦ γενησόμενον παντελῆ τοῦ τε θανάτου καὶ τῆς φθορᾶς ἀφανισμόν. «Εἰς διδαχὴν» δέ, ὁπόταν «ἐνεπύρισε τὴν Μεσοποταμίαν καὶ τὴν Συρίαν Σωβά». Εἰς διδαχὴν ἡμῖν τοῖς ἀλλοιουμένοις καὶ ἀλλοιωθησομένοις, δηλονότι τὴν ἐπαινετὴν καὶ θείαν ἀλλοίωσιν, ὁ ψαλμὸς ἐπιγέγραπται παρὰ τοῦ (≡14A_366≡> Δαβὶδ τοῦ νοητοῦ, λέγω δὲ Χριστοῦ τοῦ Θεοῦ. Μόνος γὰρ αὐτὸς ἀληθινὸς βασιλεὺς ὑπάρχων τοῦ Ἰσραὴλ καὶ ὁρῶντος Θεόν, ὡς πάσης ἀναιρέτης κακίας καὶ ἀγνωσίας καὶ νικητὴς παντὸς χρόνου καὶ φύσεως, δι᾽ ὧν ἐν ἡμῖν ἡ κακία συνίστασθαι πέφυκεν, ἐνεπύρισε τὴν Μεσοποταμίαν, διὰ σαρκὸς ἡμῖν ὁμιλήσας, τουτέστι τὴν ἐπικλυζομένην τοῖς παρὰ φύσιν πάθεσι τῆς σαρκὸς ἕξιν τῆς κακίας, καὶ τὴν «Συρίαν Σωβά», τουτέστι τὴν δεδουλωμένην τῷ χρόνῳ ἤγουν ἠπατημένην τῷ αἰῶνι τούτῳ διάθεσιν· ἑπτὰ γὰρ ἡ Σωβὰ ἑρμηνεύεται, σαφῶς δὲ τοῦτο δηλοῖ τὴν χρονικὴν ἰδιότητα· ἑβδοματικὸς γὰρ ὁ χρόνος. Φύσιν γὰρ καὶ χρόνον εἴωθεν ὁ διάβολος συνεπικινεῖν ἑαυτῷ κατὰ τῆς ἀρετῆς καὶ τῆς γνώσεως, τοὺς ἀφανεῖς συμπλέκων πολέμους, ὡς τὰς δύο Συρίας κατὰ τοῦ Δαβὶδ ὁ Ἀδρααζάρ—Ἀδρααζὰρ γὰρ εἰς τὴν Ἑλλάδα φωνὴν μεταφραζόμενος λύων ἰσχὺν ἢ κατασκάπτων δύναμιν ἑρμηνεύεται—, ὅστις ἐστὶν ὁ διάβολος ὁ δι᾽ ἀπάτης τὴν πνευματικὴν ἰσχὺν τῆς ἡμετέρας φύσεως κατ᾽ ἀρχὰς τῇ παραβάσει τῆς θείας ἐντολῆς διαλύσας, καὶ τῷ χρόνῳ καὶ τῇ φύσει δουλώσας τὸν ἄνθρωπον· ἄνευ γὰρ τῶν ὑπὸ φύσιν καὶ χρόνον μάχεσθαι τοῖς ἀνθρώποις παντελῶς οὐ δύναται.

«Καὶ ἐπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὴν φάραγγα τῶν Ἀλῶν, δώδεκα χιλιάδας».

Πᾶς γὰρ ὁ τῷ νοητῷ βασιλεῖ Δαβὶδ στρατηγῶν, τουτέστι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ, κατὰ τῶν ἐναντίων δυνάμεων, πατάσσει δώδεκα χιλιάδας ἐν τῇ φάραγγι τῶν Ἀλῶν. Φάραγξ δέ ἐστιν Ἀλῶν ἡ σάρξ, ὡς χωρίον παθῶν ἀτιμίας διὰ τῆς παρακοῆς γενομένη, ἐν ᾗ, καθάπερ φάραγγι, διὰ λόγου καὶ θεωρίας πᾶς εὐσεβὴς καὶ φιλόθεος πατάσσει φύσιν καὶ χρόνον, ἤγουν τὴν ἐπ᾽ αὐτοῖς τῆς ψυχῆς παράλογον πρόληψιν, μηδαμῶς ἐμμένων (≡14A_368≡> διὰ τὸ ὕψος τῆς ἀρετῆς καὶ τῆς γνώσεως τοῖς ὑπὸ φύσιν καὶ χρόνον νόμοις. Ὁ γὰρ δώδεκα ἀριθμὸς τὴν φύσιν δηλοῖ καὶ τὸν χρόνον, εἴπερ πενταδικὴ μὲν ἡ φύσις διὰ τὰς αἰσθήσεις, ἑβδοματικὸς δὲ ὁ χρόνος, ὡς πᾶσι καθέστηκεν εὔδηλον, πέντε δὲ τοῖς ἑπτὰ συνθείς, τὸν δώδεκα πληρώσαις ἂν σαφῶς ἀριθμόν.

Τυχὸν δὲ καὶ τὴν κακῶς δι᾽ ἀπάτης παρὰ φύσιν συμπλακεῖσαν τῇ τετράδι τῶν αἰσθητῶν τριάδα τῶν δυνάμεων τῆς ψυχῆς κατὰ τὴν σχέσιν, δι᾽ ἧς πᾶσα γίνεσθαι πέφυκεν ἁμαρτία, ὁ τῶν ἀνῃρημένων ἀριθμὸς ὑποσημαίνει, ὃν καταφονεύει καλῶς ὁ τῷ νοητῷ Δαβὶδ ἐν τοῖς ὑπὲρ ἀληθείας ἀγῶσιν ὑπουργῶν καὶ γνωστικῶς τὰς ἀοράτους μάχας συνάπτων καὶ κατὰ τῶν πονηρῶν δυνάμεων πνευματικῶς παραταττόμενος· πᾶσα γὰρ ψυχῆς δύναμις, παρὰ φύσιν κινουμένη, τοῖς αἰσθητοῖς συμπλέκεσθαι πέφυκεν. Ἐπειδὰν οὖν ὅ τε λόγος καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία, τρεῖς τὸν ἀριθμὸν οὖσαι γενικαὶ τῆς ψυχῆς δυνάμεις, τοῖς αἰσθητοῖς ἡττηθῶσι, τέσσαρσιν οὖσι, τὸν δώδεκα ἀριθμὸν ἀποτελεῖ· τέσσαρα γὰρ ἐπὶ τρία καὶ τρία ἐπὶ τέσσαρα συντιθέμενα, τοῦτον πληροῖ τὸν ἀριθμόν, ὃν ἀναιρεῖ ὁ τῷ Κυρίῳ πιστῶς προσχωρῶν καὶ καλῶς ἀριστεύων κατὰ παντὸς ἀφανοῦς καὶ πολεμίου πνεύματος.

Ἐπιγέγραπται γοῦν ὁ παρὼν ψαλμὸς «τοῖς μὲν ἀλλοιωθησομένοις» ἡμῖν, «εἰς διδαχὴν» τῶν εἰς ἡμᾶς παρὰ τοῦ νοητοῦ Δαβὶδ γενομένων ἀγαθῶν, «εἰς στηλογραφίαν δὲ τῷ Δαυΐδ», τουτέστιν εἰς ἀνάρρησιν τῶν ὑπὲρ ἡμῶν αὐτοῦ θείων καὶ σωτηρίων κατορθωμάτων· ἀνάρρησιν γὰρ κατορθωμάτων ἡ στηλογραφία δηλοῖ κατὰ τοὺς ἐπιστήμονας τῶν τοιούτων ὀνομάτων ἐξηγητάς.

«Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς».

Ἀπώσατο ἡμᾶς ὁ Θεός, ὅταν, μὴ φυλάξαντες κατ᾽ ἀρχὰς (≡14A_370≡> τὴν ἐντολήν, ἀνάξιοι ἐφάνημεν τῆς κατὰ πρόσωπον αὐτοῦ ὁμιλίας· καθεῖλεν ἡμᾶς, ὅταν τοῦ ὕψους τῆς ἐν τῷ παραδείσῳ δόξης διὰ τὴν ἡμῶν κακίαν ἀπεξένωσεν· ὠργίσθη, ὅταν ἐπὶ τιμωρίᾳ καὶ κολάσει τῆς κακίας τῷ τοῦ θανάτου ἐπιτιμίῳ ἡμᾶς καθυπέβαλεν· ᾠκτείρησεν ἡμᾶς, ὅταν διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Θεοῦ Λόγου σαρκωθέντος καὶ τὴν ὑπὲρ πάντων ἡμῶν ὀφειλὴν καταδεξαμένου ἐλυτρώσατο ἡμᾶς τοῦ θανάτου καὶ εἰς τὴν ἑαυτοῦ δόξαν πάλιν ἐπανήγαγεν.

«Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν· ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη».

Συνέσεισεν ἡμῶν τὴν γῆν καὶ συνετάραξε, τουτέστι τὴν καρδίαν, δοὺς ἡμῖν τὴν μάχαιραν τοῦ Πνεύματος τὴν τὸ χεῖρον τοῦ κρείττονος γνωστικῶς διακρίνουσαν καὶ τὸν νόμον τοῦ Πνεύματος κατὰ τοῦ νόμου τῆς σαρκὸς ἐπεγείρουσαν καὶ τὸν κατὰ τῶν παθῶν ἐπαινετὸν πόλεμον ἐν ἡμῖν δημιουργοῦσαν καὶ τὴν ἐν ἡμῖν τῶν παθῶν συνέχειαν συσσείουσαν καὶ συνταράσσουσαν ἐπὶ ταῖς κατὰ πρόληψιν ἀτόποις μνήμαις τὴν συνείδησιν· ἰᾶται δὲ τὰ συντρίμματα τῆς ἡμῶν καρδίας, ἅπερ σαλευθεῖσά τε καὶ ὀλισθήσασα διὰ τῆς παρακοῆς κατ᾽ ἀρχὰς ἐκ τῆς ἐν τῷ παραδείσῳ παραβάσεως ὑπέμεινε, διὰ τῆς ἐν χάριτι πνευματικῆς ἀναγεννήσεως.

«Ἔδειξας τῷ λαῷ σου σκληρά· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως· ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου, ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου».

Δεικνύει σκληρὰ τοῖς φοβουμένοις αὐτὸν διὰ τῶν ἐντολῶν ὁ Θεός, κατὰ τὴν πρακτικὴν φιλοσοφίαν τοὺς τρόπους τῆς τοῦ σώματος νεκρώσεως ὑποτιθέμενος ἢ τοὐναντίον διὰ τῆς ποικίλης προνοίας καὶ κρίσεως φιλανθρώπως πρὸς τὸ συμφέρον (≡14A_372≡> παιδεύων ἡμᾶς, τοὺς μὴ κατὰ θέλησιν ἀνεχομένους τὸν θεῖον ζυγὸν ὑπελθεῖν τοῦ νόμου τῶν ἐντολῶν· ποτίζει δὲ οἶνον κατανύξεως, ἤγουν τὴν ἐπομένην τῇ διὰ τῆς πρακτικῆς καθάρσει κατὰ τὴν πνευματικὴν θεωρίαν χαριζόμενος γνῶσιν· πᾶσα γὰρ γνῶσις πνευματικὴ κατανύσσει τὴν καρδίαν, εἰς συναίσθησιν ἄγουσα τοῦ μεγέθους τῶν ἐφ᾽ ἡμῖν θείων εὐεργεσιῶν· δίδωσι δὲ τοῖς φοβουμένοις αὐτὸν σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου, τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρειν διδάσκων τοὺς φοβουμένους αὐτόν, καθ᾽ ἣν ἡ παντελὴς τῆς ἁμαρτίας ἀπραξία συνέστηκε· σημείωσις γὰρ ἀληθὴς ἡ διὰ σταυροῦ νεκροῦσα τὸ φρόνημα τῆς σαρκὸς καθέστηκε δύναμις.

«Πρὸς τὸ φυγεῖν ἀπὸ προσώπου τόξου».

Τουτέστιν ἀπὸ τῆς ἐμφαινομένης τοῖς οὖσιν ἀπατηλῆς ἐπιφανείας· πρόσωπον γὰρ τόξου, φημὶ δὲ ἑκάστου δαιμονιώδους πάθους, ἡ τὴν αἴσθησιν ἐρεθίζουσα τῶν σωμάτων ἐστὶν ἐπιφάνεια, καθάπερ ἀκὶς βέλους τὴν αἴσθησιν τιτρώσκουσα καὶ πρὸς τὰ πάθη τὴν ψυχὴν ἀπρεπῶς διερεθίζουσα. Διόπερ ἀπὸ προσώπου τόξου φησὶν ὁ λόγος φεύξεσθαι τοὺς φοβουμένους τὸν Κύριον, ἀλλ᾽ οὐκ ἀπὸ τόξου· τὸ γὰρ τόξον τῆς ἁμαρτίας ἄνευ προσώπου τυχὸν οὐδέ τι δράσειε κατὰ τῶν φοβουμένων τὸν Κύριον.

«Ἐφ᾽ ᾧ ῥυσθῆναι τοὺς ἀγαπητοὺς τοῦ θεοῦ».

Ἀγαπητοὶ δὲ Θεοῦ εἰσὶν οἱ κατὰ θεωρίαν συνεκτικοὶ τῆς θείας γνώσεως λογισμοί, οὓς ῥύονται οἱ κατὰ τὴν πρακτικὴν συνιστάμενοι τρόποι τῶν ἀρετῶν ἀπὸ πάσης πλάνης καὶ πασῶν τῶν διοχλουσῶν τῇ ψυχῇ κατὰ πρόληψιν τῆς ἁμαρτίας μνημῶν.

«Σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· Ἀγαλλιάσομαι καὶ διαμεριῶ (≡14A_374≡> Σίκημα καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω».

Σώζει ὁ Θεὸς τῇ δεξιᾷ αὐτοῦ, διδοὺς τὸν μονογενῆ αὐτοῦ Υἱόν—δεξιὰ γὰρ τοῦ Πατρὸς ὁ Υἱός—λύτρον ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας· ἐπακούει δέ, διδοὺς τῷ δικαίῳ πρὸς τῇ ἀφέσει τῶν ἁμαρτημάτων καὶ πνευματικὰ χαρίσματα—ἀκούει μὲν γὰρ τοῦ ἱκετεύοντος αὐτὸν ὁ Θεός, πρῶτον διὰ τῆς μετανοίας ἄφεσιν διδοὺς ἁμαρτημάτων, ἐπακούει δέ, πρὸς τῇ ἀφέσει τῶν ἁμαρτημάτων καὶ τὰ διὰ χάριτος πνευματικῆς διδοὺς ἐνεργήματα—· λαλεῖ δὲ ἐν τῷ ἁγίῳ αὐτοῦ, τουτέστιν ἐν τῷ σαρκωθέντι αὐτοῦ Λόγῳ, τὸν θεῖον αὐτοῦ σκοπόν, τὸν ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν κατὰ τὴν ἔνσαρκον αὐτοῦ τοῦ Χριστοῦ οἰκονομίαν, διὰ τῆς καθ᾽ ἡμᾶς ἀνθρωποπρεποῦς αὐτοῦ ἀναστροφῆς οἱονεὶ διαρρήδην βοῶν καὶ τῷ βίῳ διδοὺς εἰς ὑποτύπωσιν αἰωνίου ζωῆς εἰκόνα, πάσης γεγωνοτέραν φωνῆς, τὴν τῶν ἀγαθῶν ἔργων ἐπίδειξιν· ‘λαλεῖ’ δὲ καὶ ‘ἐν’ ἑκάστῳ ‘ἁγίῳ’ φυλάττοντι αὐτοῦ τὰς ἐντολάς, οἷον ζῶντας δεικνὺς διὰ τῶν ἔργων τοὺς λόγους καὶ πάσης φωνῆς γεγωνοτέρους.

Ἀγαλλιᾶται δὲ ὁ δίκαιος, ἡνίκα, τελειωθεὶς τῇ χάριτι τοῦ Μονογενοῦς, ἱκανὸς γένηται ‘διαμερίσαι’ τὴν ‘Σίκημα,’ τουτέστιν ἄλλοις ἀναλόγως ἐκ πείρας ἐπιστήμονος ὑποθέσθαι τοὺς κατὰ τὴν πρακτικὴν ἀνδρικοὺς τῶν ἀρετῶν τρόπους· ὠμίασις γὰρ ἡ Σίκημα ἑρμηνεύεται, ὅπέρ ἐστιν ἡ πάντων μὲν ἐφεκτικὴ τῶν παθῶν, πασῶν δὲ ἐνεργητικὴ τῶν ἀρετῶν ἕξις—πράξεως γὰρ σύμβολον τὸν ὦμον εἶναι φασίν.

Καὶ τὴν κοιλάδα τῶν Σκηνῶν διαμετρεῖ, τοὺς προσφόρους ἑκάστῳ τῶν ὄντων κατὰ τὴν φυσικὴν θεωρίαν λόγους ἀπονέμων· ἡ γὰρ ‘κοιλὰς τῶν Σκηνῶν’ ὁ παρών ἐστι κόσμος, ἐν ᾧ πάντων κατὰ τὴν ἑκάστου διάφορον γνώμην τὲ καὶ διάθεσιν ἀπαγὴς ὑπάρχει καὶ πρόσκαιρος, σκηνῶν δίκην, ἡ παροῦσα ζωή.

Ἡ πάλιν Σκηναὶ τυγχάνουσι τῆς παρούσης κοιλάδος οἱ (≡14A_376≡> τῶν ἀρετῶν τρόποι, οὓς διαιρεῖ γνωστικῶς τοῖς διδασκομένοις, πρὸς τὴν ἑκάστου ἕξιν κατάλληλον διδοὺς ἀγωγὴν καὶ προσφυλακὴν τῶν τιμίων, ὁ διανέμειν εἰδὼς ἑκάστῳ διὰ τῆς καλῆς διδασκαλίας τὴν ἁρμόζουσαν πρὸς σωτηρίαν ὁδόν.

Ἡ Σκηναὶ κοιλάδος ὑπάρχουσιν αἱ διὰ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ παγεῖσαι κατὰ πᾶσαν τὴν οἰκουμένην τῶν πιστευσάντων ἐθνῶν Ἐκκλησίαι, ὃ καὶ μᾶλλον, ὡς οἶμαι, τῶν ἄλλων ἐστὶν ἐπιφανέστερον.

Ἡ πάλιν ‘κοιλάδα Σκηνῶν διαμετρεῖ’ ὁ τὸν κόσμον τῶν σωμάτων καθάπερ κοιλάδα σκηνῶν γνώσει περιλαμβάνων· «σκῆνος» γὰρ πολλαχοῦ τῆς Γραφῆς τὸ σῶμα προσηγορεύθη.

«Ἐμός ἐστι Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς καὶ Ἐφραΐμ κραταίωσις τῆς κεφαλῆς μου».

Γαλαὰδ κατὰ μίαν τῶν ἐπὶ τῷ ὀνόματι τούτῳ ἑρμηνειῶν ἐστὶν ἀποκάλυψις, Μανασσῆς δὲ ἑρμηνεύεται λήθη· ἀποκάλυψις δὲ καὶ λήθη εἰκότως προσγίνονται τῷ δικαίῳ, λαμβάνοντι μὲν διὰ θεωρίας τῶν ἀπορρήτων τὴν μύησιν, τῶν δὲ κατ᾽ ἀρετὴν πόνων τὴν λήθην διὰ τὴν διαδεχομένην τοὺς πόνους τῶν ἀρετῶν εὐφροσύνην τῆς πνευματικῆς θεωρίας. Ἐφραΐμ δὲ ἑρμηνεύεται πλατυσμός, ὅπέρ ἐστιν ἡ κατὰ πίστιν ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς ἄπτωτος ἐλπίς, ἥτις ἐστὶν ἀντίληψις ‘τῆς κεφαλῆς’ τοῦ δικαίου, τουτέστι τῆς πίστεως· παντὸς γὰρ δικαίου κεφαλὴ ἡ πίστις ἐστὶ καὶ παντὸς ἔργου ἀγαθοῦ, ‘κραταίωσις’ δὲ ταύτης καθέστηκεν ἀσφαλὴς ἡ τῶν μελλόντων ἀγαθῶν ἀδιάπτωτος ἐλπίς· καθ᾽ ἣν ὡς παρόντα τὰ μέλλοντα θεωροῦντες, ἐμπλατυνόμεθα ταῖς θλίψεσιν, ἀκατάπτωτοι ἐν τοῖς πειρασμοῖς διαμένοντες.

«Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου».

Ἰούδας ἐξομολόγησις ἑρμηνεύεται· ἄρχει γὰρ ἡ δι᾽ εὐχῶν ἐξομολόγησις ἐν τοῖς ἁγίοις παντὸς ἀγαθοῦ. Δύναται δὲ νοηθῆναι καὶ εἰς τὸν Κύριον ὁ Ἰούδας, ὅς ἐστιν ἀληθινὸς βασιλεὺς τοῦ πνευματικοῦ Ἰσραὴλ καὶ ὁρῶντος Θεόν, ὁ ὑπὲρ ἡμῶν, ἡνίκα γέγονεν ἄνθρωπος, ἐξομολογούμενος πρὸς τὸν Πατέρα καὶ λέγων· «ἐξομολογοῦμαί σοι, Πάτερ ἅγιε». Μωὰβ δὲ 'ἕντερον πατρὸς' ἑρμηνεύεται, νοεῖται δὲ τὸ ἡμέτερον σῶμα, δι᾽ οὗ κατὰ τὴν πρακτικὴν φιλοσοφίαν, λουτροῦ δίκην —ὅπερ δηλοῖ σαφῶς ὁ λέβης—, ἡ κάθαρσις πέφυκε γίνεσθαι τῶν ἁμαρτημάτων· κάθαρσις γάρ ἐστιν ὁ ‘λέβης τῆς ἐλπίδος,’ τουτέστιν ἡ διὰ βίου κατὰ τὴν κάθαρσιν πρὸς κληρονομίαν τῶν κατ᾽ ἐλπίδας ἀποκειμένων ἡμῖν ἀγαθῶν ἑτοιμότης.

Δύναται δὲ πάλιν νοηθῆναι ὁ ‘Μωὰβ’ καὶ εἰς τὴν σάρκωσιν τοῦ Κυρίου· Υἱὸς γὰρ ἀνθρώπου δι᾽ ἡμᾶς γέγονέ τε καὶ

ἐχρημάτισεν ὁ ἀληθινὸς ‘λέβης τῆς ἐλπίδος’ ἡμῶν, τουτέστιν ὁ ῥυπτικὸς καὶ καθαρτικὸς τῶν ἐκ τῆς ἁμαρτίας ἡμετέρων κηλίδων τὲ καὶ μολυσμῶν.

«Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν».

Ἰδουμαία αἱματώδης πηλὸς ἑρμηνεύεται. Δύναται δὲ ληφθῆναι καὶ εἰς τὴν σάρκα τοῦ Κυρίου, δι᾽ ἧς ἐπέβη, ὡς δι᾽ ‘ὑποδήματος,’ τοῖς ἀνθρωπίνοις, ἄλλως χωρῆσαι τὸν Ποιητὴν μὴ δυναμένης τῆς κτίσεως, ἄπειρόν τε καὶ ἀχώρητον κατὰ φύσιν τυγχάνοντα.

Δύναται δὲ πάλιν νοηθῆναι καὶ εἰς τὴν ἑκάστου ἡμῶν σάρκα, ἐφ᾽ ἧς ‘ἐκτείνομεν τὸ ὑπόδημα,’ τουτέστι τὴν φρουροῦσαν τὴν ψυχὴν ἀπὸ τῶν πονηρῶν τοῦ διαβόλου τριβόλων τὲ καὶ (≡14A_380≡> ἀκανθῶν ἄσκησίν τε καὶ ἐγκράτειαν—τοῦτο γὰρ χρὴ νοεῖσθαι τὸ ὑπόδημα—· ἄνευ γὰρ ἀσκήσεως καὶ ἀκριβοῦς ἐγκρατείας τὰ τῆς σαρκὸς πάθη καταπαλαῖσαι τὸν ἀσκητὴν τῆς εὐσεβείας ἀμήχανον.

Δύναται δὲ πάλιν ὑπόδημα νοηθῆναι ψυχῆς καὶ ἡ διὰ λόγου καὶ θεωρίας νεκρωθεῖσα αἴσθησις, δι᾽ ἧς ἐπιβαίνουσα ἡ ψυχὴ τοῖς αἰσθητοῖς, τὸν αἰῶνα τοῦτον ἀβλαβῶς διαπορεύεται, τοὺς αὐτοῦ λόγους διὰ μέσης τῆς αἰσθήσεως ὡς ὑποδήματος φαντασιουμένης, τὰς τῶν ὁρατῶν κατ᾽ εἶδος καὶ σχῆμα διαφορὰς ἀναλεγομένη πρὸς τὴν τοῦ ἑνὸς μόνου τε καὶ ἀρχικοῦ Λόγου σύνεσιν καὶ ἐπίγνωσιν.

«Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν».

Ἡνίκα γὰρ διὰ σαρκὸς τοῖς καθ᾽ ἡμᾶς ἐπεχωρίασε τόποις ὁ Κύριος, ὑπετάγη τῷ κράτει τῆς ἰσχύος αὐτοῦ οὐ μόνον καταργηθέντα τὰ πνεύματα τῆς πονηρίας, ἀλλὰ καὶ πάντα τὰ ἔθνη, δεξάμενα διὰ τῆς κλήσεως τὸ σωτήριον τοῦ Εὐαγγελίου κήρυγμα, ὑπέκυψεν· ‘ὑποτάσσονται’ δὲ καὶ παντὶ δικαίῳ οἱ ‘ἀλλόφυλοι,’ ἡνίκα ἐπιβαλών, ὥσπερ ὑπόδημα, τῇ γῇ τῆς σαρκὸς αὐτοῦ τὴν νεκροῦσαν τὸν νόμον τῆς ἁμαρτίας ἐγκράτειαν, δαμάσει οὐ μόνον τὰ ἐμφωλεύοντα αὐτῇ ἀκάθαρτα πάθη, ἀλλὰ καὶ τοὺς ἐνεργοῦντας ταῦτα πονηροὺς καταργήσει δαίμονας.

«Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;»

Πόλις ἐστὶ περιοχῆς ἡ ἐκ πολλῶν συνηθροισμένη θείων καὶ μυστικῶν θεωρημάτων σοφία, περιεχομένη ἤγουν περιπεφραγμένη, καθὼς ἕτερος ἔφη τῶν ἐκδοτῶν, τοῖς τῶν ἀρετῶν ὀχυρώμασιν.

Ἢ πάλιν ‘πόλις’ ἐστὶ ‘περιοχῆς’ ἡ κατάστασις, καθ᾽ ἣν ἀνάλωτος καὶ ἀπροσπέλαστος γίνεται τοῖς πολεμίοις διὰ τὴν φρουροῦσαν αὐτὸν τῶν ἁγίων δυνάμεων περιβολὴν ὅ γε ἀληθῶς θεοσεβὴς καὶ φιλόθεος.

Ἢ πάλιν ‘πόλις’ ἐστὶ ‘περιοχῆς’ ἡ λόγῳ καὶ βίῳ τετειχισμένη (≡14A_382≡> ψυχὴ καὶ πάσαις ταῖς τῶν ἀρετῶν πλήθουσα χάρισιν.

Ἢ πάλιν ‘πόλις’ ἐστὶ ‘περιοχῆς’ ἡ τῆς ἀληθοῦς καὶ ἀπταίστου γνώσεως ἕξις ἡ ἐκ πάντων ἠθικῶν τε καὶ φυσικῶν καὶ θεολογικῶν θεωρημάτων περιεχομένη, εἰς ἣν ἀπάγεται πᾶς εὐσεβής, ὑπ᾽ ἄλλου μὲν οὐδενός, ὑπὸ μόνου δὲ τοῦ Θεοῦ τοῦ πάντας πρὸς ἑαυτὸν ἕλκοντος δι᾽ ἄφατον ἀγαθότητος μέγεθος.

«Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;»

Ἰδουμαία, καθὼς ἔδειξε προλαβὼν ὁ λόγος, ἐστὶν ἡ πάντων τῶν ὑπὸ αἴσθησιν κτισμάτων σύστασις, περὶ ἣν ἡ ἐν πνεύματι φυσικὴ θεωρία συνίστασθαι πέφυκεν, καθ᾽ ἣν ἐκ καλλονῆς καὶ μεγέθους κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς τῷ εὐσεβῶς ἀναλεγομένῳ τὴν τῶν ὄντων γνῶσιν θεωρεῖται.

Ἢ τυχὸν ἡ κατ᾽ ἀρετὴν πρακτικὴ διὰ σαρκὸς φιλοσοφία, καθ᾽ ἣν τοῦ ἁγίου Πνεύματος γίνεται ναὸς τὸ ἡμέτερον σῶμα, τοῖς τῶν ἐντολῶν συνοικοδομούμενον κάλλεσιν, εἰς ἣν ὁ αὐτὸς πάλιν ‘ὁδηγεῖ’ Κύριος, χαριζόμενος τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τῶν ὁρωμένων τὴν ἐπιστήμην, καὶ διδάσκων τῶν μελῶν τῆς γηΐνης ταύτης καὶ ἐπικήρου σαρκὸς τὴν νέκρωσιν.

Ἢ ἵνα συνελὼν εἴπω, ‘πόλις’ ἐστὶ ‘περιοχῆς’ ἡ τῶν νοητῶν γνωστικὴ θεωρία, ‘Ἰδουμαία’ δὲ ἡ τῶν αἰσθητῶν ἐπιστήμη, εἰς ἃς ‘ἀπάγει’ τε καὶ ‘ὁδηγεῖ’ ἡ μόνη τοῦ Θεοῦ καὶ Πατρὸς σοφία, ὁ μονογενὴς Υἱός. Διὸ ἐπάγων ὁ προφήτης φησίν·

«Οὐχὶ σύ, ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς;»

Τουτέστιν ὅτι Σύ, ὁ Θεός, ὁ κατ᾽ ἀρχὰς διὰ τὴν ἁμαρτίαν ‘ἀπωσάμενος ἡμᾶς,’ αὐτὸς διὰ σπλάγχνα ἐλέους σου οἰκτειρήσας, (≡14A_384≡> ‘ἀπάγεις εἰς πόλιν περιοχῆς’ καὶ ‘ὁδηγεῖς ἕως τῆς Ἰδουμαίας’ κατὰ τὴν προαποδεδομένην ἐξήγησιν.

«Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν».

‘Οὐ’ γὰρ ‘ἐξελεύσεται ὁ Θεὸς ἐν’ τῷ ἐφ᾽ ἑαυτῷ θαρροῦντι καὶ ἐπὶ τῷ τόξῳ ἐλπίζοντι καὶ τὴν ῥομφαίαν ἐπιγραφομένῳ ἑαυτοῦ σωτήριον, ἀλλ᾽ ἐν τοῖς ἐν αὐτῷ τῷ Θεῷ κερατιοῦσι τοὺς ἐχθροὺς καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἐξουδενοῦσι τοὺς ἐπανισταμένους αὐτοῖς εἰκότως ὁ Θεὸς ἐξελεύσεται πρὸς τὸν κατὰ τῶν ἀοράτων ἐχθρῶν πόλεμον.

«Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ ματαία σωτηρία ἀνθρώπου».

Εὐκτικῶς δέεται τοῦ Θεοῦ καὶ Σωτῆρος ἐκ προσώπου τῆς κοινῆς φύσεως ὁ προφήτης ‘δοθῆναι ἡμῖν βοήθειαν ἐκ’ τῆς ‘θλίψεως,’ δηλαδὴ τῆς κατασκεδασθείσης τῆς φύσεως διὰ τὴν ἁμαρτίαν καὶ μέχρι τῶν τοῦ ἅδου πυλῶν αὐτὴν καταπιεσάσης. ‘Θλίψις’ γάρ, κατ᾽ ἐμὲ φάναι, ἡ τοῦ θανάτου καὶ τῆς φθορᾶς ἐστι τυραννὶς καὶ ἐπικράτεια, ‘βοήθεια’ δὲ ἡ διὰ τῆς χάριτος βεβαία τῆς ἀναστάσεως ἐλπίς, πρὸς ἣν ἀφορῶντες οἱ εὐσεβεῖς τὴν τοῦ θανάτου κατήφειαν ἀλύπως διαφέρουσιν.

Ἢ πάλιν ‘θλίψις’ ἐστὶν ὁ ὑπὲρ ἀρετῆς πόνος, ‘βοήθεια’ δὲ ἡ τοῦτον διαδεχομένη κατὰ Θεοῦ χάριν ἀπάθεια, πρὸς ἣν πᾶσα συγκρινομένη ἀνθρώπων σωτηρία ματαιότης ἐστὶ καὶ παντελὴς ἀνυπαρξία· τοῦτο γὰρ δίκαιον νοεῖσθαι τὴν ματαιότητα.

«Ἐν τῷ Θεῷ ποιήσωμεν δύναμιν καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς».

Ἐν τῷ Θεῷ ποιοῦσι δύναμιν οἱ μὴ ἐπιγράφοντες ἑαυτοῖς (≡14A_386≡> τῶν ἀρετῶν τὰ κατορθώματα μηδὲ τῇ ἑαυτῶν σοφίᾳ τὴν τῶν θείων μυστηρίων κατάληψιν, ἐν οἷς ‘αὐτὸς’ ὁ Θεὸς μονώτατος καὶ ὅλως χωρῶν, πᾶσαν ἀρετὴν ἐργάζεται καὶ χαρίζεται γνῶσιν, ‘ἐξουδενῶν’ πάντας τοὺς ἀντικειμένους τῇ τε ἀρετῇ καὶ τῇ γνώσει πονηροὺς δαίμονας καὶ διὰ κακίας καὶ ἀγνωσίας ‘ἐκθλίβειν’ ἐπιχειροῦντας τοὺς φοβουμένους αὐτόν. Αὐτὸς γὰρ πάντων ὑπάρχει Σωτήρ, ὅτι καὶ πάντων Δημιουργός. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.